Rara

77
18057

1

145 BU

4R

48/77/1805 7 (9)

1

Arsenius

Legrand I, Nos. 62 + 61: "Rarissime édition"
Hoffmann I, 404: "Rarissimum"
Brunet I, 508
Ebert No. 1253: "Kostbares Buch"



a
N°. 332 ~~176~~

I
A
54

I
A
54

1

# ἈΠΟΦΘΈΓΜΑΤΑ ΦΙΛΟΣΌΦΩΝ ΚΑῚ ΣΤΡΑΤΗ-ΓΩ͂Ν. ῬΗΤΌΡΩΝ ΤῈ ΚΑῚ ΠΟΙΗΤΩ͂Ν. ΣΥΛ-ΛΕΓΈΝΤΑ, ΠΑΡᾺ ἈΡΣΕΝΊΟΥ ἈΡΧΙΕ-ΠΙΣΚΌΠΟΥ ΜΟΝΕΜΒΑΣΊΑΣ.

Præclara dicta Philosophorum, Imperatorum, Oratorumq;, & Poetarum, ab Arsenio Archiepiscopo Monembasiæ collecta.

Blanchard

FREIE UNIVERSITÄT BERLIN UNIVERSITÄTSBIBLIOTHEK
48/77/18057 (9)

ΤΩι ΠΑΝΑΓΙΩΤΑΤΩι ΚΑῚ ΜΑΚΑΡΙΩΤΑΤΩι ΠΑΤΡῚ, ΚΑῚ ΚΥΡΊΩι ἩΜΕΤΈΡΩι ΚΥΡΊΩι. ΛΈΟΝΤΙ ΔΕΚΆΤΩι ΤῆΣ ἉΓΊΑΣ ΤΟῦ ΘΕΟῦ ῬΩΜΑΪΚῆΣ, ΚΑῚ ΚΑΘΟΛΙΚῆΣ ἘΚΚΛΗΣΊΑΣ ἌΚΡΩι ἈΡΧΙΕΡΕῖ, ἈΡΣΈΝΙΟΣ Ὁ ΜΟΝΕΜΒΑΣΊΑΣ ἈΡΧΙΕΠΊΣΚΟΠΟΣ, ἘΝ ΚΥΡΊΩι ΧΑΊΡΕΙΝ.

Ὁ μὲν σωφρονίσκου σωκράτης ἐρωτηθεὶς παναγιώτατε δέσποτα, τίνος χάριν οὐ συγγράφει, πολλῶν ἐν τούτῳ καταβαλλομένων φροντίδας, ἐπειδὴ ὁρῶ ἔφη ἅπαν τὰ χαρτία, πολὺ τῶν γραφησομένων γε, τιμιώτερα. ταὐτὸ τοῦτο πυθόμενος καὶ ὁ πραξαγόρου θεόκριτος, ὅτι ὡς μὲν βούλομαι, οὐ δύναμαι. ὡς δὲ δύναμαι, οὐ βούλομαι ἀπεκρίνατο. ὅπου δ' ἐκείνω τὼ σοφὼ ἄνδρε τοῦ συγγράφειν ἠμελησάτην, τοῖν προειρημέναιν αἰτίαιν ἕνεκα, σχολῇ γ' ἂν ἔγωγε τῶν λόγου ἄξιόν τι συγγράψαιμι. ὅθεν εἰκότως πρὸς τὸν

δεύτερον ἀπεῖδον γε πλοῦν, ἀποτυχὼν τῆς
πρώτης ἐφέσεως. συλλεξάμενος γὰρ πολ
λὰς τῶν παλαιῶν ἐκείνων βίβλους ἀνδρῶν,
ἐν μέσῳ τούτων ἐμαυτὸν ἵδρυσα. καὶ ὥσπερ
ἐν πολυανθεῖ λειμῶνι γενόμενος, ἄλλο τι ἐξ ἄλ
λου δρεψάμενος τῶν λογικῶν ἀνθέων ἐκεί
νων, ἀντὶ κρίνων. ῥόδων τε καὶ τῶν ναρκίσσων, θη
μῶνάς τινας γνωμῶν. ἀποφθεγμάτων τε καὶ
ὑποθηκῶν ἀνεσίβασα. ἐκ τούτων δ' αὖθις τὰ
ἀποφθέγματα ἀνελεξάμην. καὶ τῶν ἀποφθεγ
ξαμένων κατὰ στοιχεῖον ἐνέταξα τὰ ὀνόμα
τα. ἀριστοτέλους καὶ ἀλεξάνδρου τῆς χοροστα
σίας τούτων προεξαρχόντοιν λαχόντοιν γε.
ὁ μὲν γὰρ τῶν φιλοσόφων. ὁ δὲ τῶν στρατη
γῶν ὡς τοῖς πλείοσι δοκεῖ, τὰ πρωτεῖα φέρου
σι. δῶρόν τι θεῖον οἶμαι ταυτὶ μακαριώτα
τε δέσποτα, καὶ οἷόν τιν' ἀναψυχὴν τῶν σπουδάζου
σιν ἔσεσθαι. παίδευσιν γὰρ ἠθῶν. καὶ παθῶν ἐπα
νόρθωσιν. καὶ τῶν πρακτέων ὑποθήκας πυκνάς,
καὶ τὸ δριμὺ καὶ δάκνον μετὰ τοῦ ἡδόντος πε

ριέχουσιν. οὐ μὴν, ἀλλὰ καὶ ἱκανὰ πρὸς τοῦ
τοις, ἀνέσεως καὶ χαριεντισμάτων παρέξειν
ἐκείνοις τὰς ἀφορμάς. δεῖ δὲ πολλάκις καὶ
ἀνέσεως τοῖς σπουδάζουσιν. αἱ γὰρ ἀνέσεις,
παρασκευαστικαὶ πόνων εἰσὶ κατὰ δίωνα. καὶ
τόξον. καὶ λύρα. καὶ ἄνθρωπος ἀκμάζει δι᾽ ἀνα
παύσεως. ἣν τοῖς σπουδαίοις χορηγήσειν ἐπαγ
γέλλονται τὰ ἀποφθέγματα. οἱ τὰς θεωρητικὰς
ἀναγνώσεις ἔσθ᾽ ὅτε μὴ δυνάμενοι φέρειν, ἐκ
λύονται, καὶ τὴν περὶ αὐτὰς σπουδὴν ἀπορρίπτου
σιν. ἀλλ᾽ ἐπειδὴ νόμος ἐστὶν ἡμῖν ἄνωθεν κρα
τήσας, ἀπαρχὰς κομίζειν θεῷ, ἰδοὺ καὶ αὐτὸς
τῷ νόμῳ ἑπόμενος, ἀπάρχομαί σοι μετὰ
θεόν, τῷ παναρίστῳ ἀρχιποίμενι, καὶ πρω
τίστῳ πάντων ἀρχόντων γε τῶν ὑφήλιον, τῆς
τῆς ἐμῆς ἀνθέων ἰωνιᾶς. τὸν γεωργὸν ἐκεῖνον
μιμούμενος. ὃς παριόντι πάλαι τῷ βασι
λεῖ τῶν περσῶν, τὴν στοργὴν οὐκ ἔχων ἄλλως
ἐνδείξασθαι τῆς ψυχῆς, ὕδατι ὀλίγῳ ζωγρα
φήσας αὐτὴν, οὕτως ἐκείνῳ γυμναῖς ἐκόμιζε

ταῖς χερσίν. ἄλλως γὰρ οὐκ ἔχωμ οὐδ' αὐτὸς
τὸν τῆς καρδίας ἐνδείξασθαι πόθομ, τῷ μι-
κρῷ τούτῳ βιβλίῳ τρόπομ ἕτερομ ὅλημ αὐτὴν
ἐντιθείς, κομίζω σοι τὴν ψυχήν, τῷ τρισκαιδε-
κάτῳ τῶν ἀποστόλων. τῷ ἀκριβεστάτῳ κανό-
νι τῆς ἀρετῆς. τῷ ἐμψύχῳ τῶμ καλῶμ νόμῳ.
τῷ τῶν λόγων εἰκότως προμηθουμένῳ. ὂμ ἐπ'
ἀνακτήσει τοῦ ἡμετέρου γένους καὶ τῆς φωνῆς,
ἣν μετὰ τῆς ἀρχῆς ἐς ὄνομα βαρβάροις μό-
νην ἀποκεκριμένην ἀπεβαλόμεθα, ὃ καθ' ἡ-
μᾶς ἐξήνεγκε χρόνος οἴκτῳ τινὶ συσχεθείς.
αἱ μὲμ οὖν ἀπαρχαὶ καὶ τὸ δῶρον ὅσον πρὸς τὴν
σὴν ἀξίαμ, λιτόν. ἀλλ' οὖμ οὐκ ἀτιμαστέον γε.
οὔτε γὰρ οἱ τὰ μεγάλα διὰ χειρὸς ἔχοντες μεγά-
λα ὀφείλουσι φέρειν τὰς δωρεάς, οὐδ' οἱ με-
τὰ μικρῶν ἥκοντες ἐκβάλλεσθαι δίκαιοι, μέ-
χρις ἂν ἡ γνώμη τούτοις ᾖ διὰ ψιλῆς. ἵλαος ἀλ-
λὰ δέξαιο μακαριώτατε κύριε. καὶ τῶμ τα-
λαιπόρων ἑλλήνωμ ἐκλαθέσθαι σε μή ποτε
γένοιτο. μηδὲ βάσκανον οὕτω χρόνον, κατὰ

τῆς τῶν λογίων τύχης ξυνῆναί ποτε, δυνάμε-
νον πονηρᾷ τινὶ καὶ παραμομούσῃ χειρὶ τὰ
τῆς σῆς γνώμης ὅπλα παρασύρειν ἐς λή-
θην. μὴ δὲ τὸ τῆς σῆς δεξιᾶς ἀφαιρεῖσθαι
πλουσιοπάροχον. ἀλλ᾽ εἴης μακροῖς τοῖς αἰῶ-
σι συμπαρεκτείνων τὸ ζῆν. ἵν᾽ εἴης καὶ
κοινῇ τοῖς ἅπασι κοινὸν καὶ δημόσιον
ὄφελος. καὶ τοῖς λογίοις ἐν μέρει
τὰς ζωογόνους πέμπων ἀ-
κτῖνας, καὶ τὸ ζῆν αὐ-
τοῖς ἀεὶ χαριζό-
μενος.

ἔρρωσο σὺν πάσῃ ἐν
θεῷ εὐτυχίᾳ.

## ΤῸ Α΄, ΠΕΡΙΈΧΕΙ ΤΩΝΔΕ ΤᾺΠΟΦΘΈΓΜΑΤΑ.

Ἀριστοτέλους. Ἀλεξάνδρου. Ἀγαλλίου.
Ἀγαθοκλέους. Ἀγασικλέους. Ἀγαμέμνονος.
Ἀγησιλάου. Ἄγιδος. Αἰσώπου.
Ἀλέξιδος. Ἀλκιβιάδου. Ἀμάσιδος.
Ἀναξάρχου. Ἀνταγόρου. Ἀντιφάνους.
Ἀναξαγόρου. Ἀμτιφῶντος. Ἀναχάρσιδος.
Ἀντισθένους. Ἀνακρέοντος. Ἀπολλωνίου.
Ἀριμνήστου. Ἀριστείδου. Ἀριστίππου.
Ἀρίστωμος. Ἀρτωρίου. Ἀρχιδάμου.
Ἀρχύτου. Ἀρταβάζου. Ἀρκεσιλάου.
Ἀρχελάου. Ἀρχιλόχου.

### ΤῸ ΔῈ Β΄, ΤΩΝΔΕ.

Βίαντος. βίωνος. βρασίδου. βρέννου.

### ΤῸ ΔῈ Γ΄, ΤΩΝΔΕ.

Γαΐου. γέλωνος. γέλου.
γλαύκου. γλύκωμος. γοργίου.

### ΤῸ ΔῈ Δ΄, ΤΩΝΔΕ.

Δημητρίου φαληρέως. δημοσθένους.

Δημάδου. Δημοκράτους. Δημώνακτος.
Δημοκρίτου. Διαγόρου. Δίωνος.
Διογένους. Διοκλέους. Διονυσίου.

ΤῸ ΔῈ Ε, ΤΩ͂ΝΔΕ.

Ἐμπεδοκλέους. Ἐπικούρου. Ἐπικτήτου.
Ἐπαμινώνδου. Ἐρατοσθένους.

ΤῸ ΔῈ Ζ, ΤΩ͂ΝΔΕ.

Ζαράτου. Ζαλεύκου. Ζήνωνος.

ΤῸ ΔῈ Η, ΤΩ͂ΝΔΕ.

Ἡρώδου. Ἡγησίππου. Ἡρώνδου.
Ἡρακλείδου. ΤῸ ΔῈ Θ, ΤΩ͂ΝΔΕ.

Θαλλοῦ. Θεαρίδου. Θεανοῦς.
Θεμιστοκλέους. Θεοκρίτου. Θεοφράστου.
Θεοδώρου. ΤῸ ΔῈ Ι, ΤΩ͂ΝΔΕ.

Ἱέρωνος. Ἱπποκράτους. Ἱπποκρατίδου.
Ἱππομάχου. Ἰφικράτους. Ἰσοκράτους.

ΤῸ ΔῈ Κ, ΤΩ͂ΝΔΕ.

Καρνεάδου. Καλτωμος. Κίμωνος.
Κλαυδιανοῦ. Κλεομένους. Κλεάνθους.
Κλεοβούλου. Κλεοστράτου. Κότυος.

κράντωνος. κράτητος.

ΤῸ ΔῈ Λ, ΤΩ͂ΝΔΕ.

Λαμάχου. λακώνων. λέοντος.
λεωνίδου. λύκωνος. λυσίου.
λύσιδος. λυσάνδρου. λυκούργου.

ΤῸ ΔῈ Μ, ΤΩ͂ΝΔΕ.

Μέμνωνος. μενάνδρου. μητροδώρου.
μνασέου. μνησάρχου. μιμδαίρου.
μοσχίωνος. μυρωνίδου.

ΤῸ ΔῈ Ν, ΤΩ͂ΝΔΕ.

Ναυκράτους. ναυμαχίου. νεοπτολέμου.
νικοκλέους. νικοστράτου. νικολάου.

ΤῸ ΔῈ Ξ, ΤΩ͂ΝΔΕ.

Ξάνθου. ξενοκράτους. ξενοφάνους.
ξενοφῶντος. ΤῸ ΔῈ Ο, ΤΩ͂ΝΔΕ.

Ὁμήρου. οἰνοπίδου.

ΤῸ ΔῈ Π, ΤΩ͂ΝΔΕ.

Παυσανίου. παιδαρέτου. πελοπίδου.
περικλέους. περιάνδρου. πιττακοῦ.
πινδάρου. πλάτωνος. πλειστάρχου.

πλειστώνακτος. πολυδώρου. πολυαίνου.
πλουτάρχου. πυθαγόρου.

ΤῸ ΔῈ Ρ΄, ΤΟΥ͂ΔΕ. Ῥωμαίου.

ΤῸ ΔῈ Σ΄, ΤΩ͂ΝΔΕ.

Σεμιράμιδος. σιμωνίδου. σκιούρου.
σόλωνος. σωκράτους. σωσιάδου.
σωστράτου. σωτίωνος.

ΤῸ ΔῈ Τ΄, ΤΩ͂ΝΔΕ.

Τηλέκρου. τιμοθέου. τιμοκλέοντος.
τροφωνίου. τυννίχου.

ΤῸ ΔῈ Υ΄, ΤΟΥ͂ΔΕ. ὑπερίδου.

ΤῸ ΔῈ Φ΄, ΤΩ͂ΝΔΕ.

Φαλαίκου. φαλάριδος. φερεκύδου.
φιλοξένου. φιλίππου. φωκίωνος.

ΤῸ ΔῈ Χ΄, ΤΩ͂ΝΔΕ.

Χάρητος. χαιρήμωνος. χαρίλλου.
χαρώνδου. χαβρίου. χίλωνος.
χορικίου. χρυσίππου.

ΤῸ ΔῈ Ψ΄, ΚΑῚ ΤῸ Ω΄.

παροιμίας τινὰς καὶ γνώμας περιέχει.

ἀ ριστοτέλης ὁ νικομάχου καὶ φαιστιάδος, εἶπεμ. ἀρχαῖός τις λόγος καὶ πάτριός ἐστι πᾶσιν ἀνθρώποις, ὡς ἐκ θεοῦ τὰ πάντα, καὶ διὰ θεῶν ἡμῖν συνέστηκεν. οὐδεμία δὲ φύσις αὐτὴ καθ' ἑαυτὴν ἐστὶμ αὐτάρκης, ἐρημωθεῖσα τῆς ἐκ τούτου σωτηρίας. ὁ αὐτὸς ἔφη. θεοῦ μὲν ἐστι πράττειν ἃ βούλεται. ἀνθρώπου δὲ, τὰ δέοντα προθυμεῖσθαι. ὁ αὐτὸς τὴμ φιλίαν ὡρίζετο ἰσότητα εὐνοίας ἀντίστροφομ. ταύτης δὲ τὴμ μὲν, εἶναι συγγενικήμ. τὴμ δὲ, ἐρωτικήμ. τὴμ δὲ, ξενικήν. εἶναι δὲ καὶ τὸμ ἔρωτα μὴ μόνομ συνουσίας, ἀλλὰ καὶ φιλοσοφίας. ὁ αὐτὸς ἐρωτηθεὶς τί ἐστι φίλος, ἔφη. μία ψυχὴ ἐμ δύο σώμασιμ οἰκοῦσα. ὁ αὐτὸς εἶπεν ἐπιτήδειος εἰς φιλίαν, ὁ πλεῖστα ἀδικεῖσθαι δυνάμενος. ὁ αὐτὸς ἔλεγε δεῖν, μὴ τὰ μέγιστα τῶν ἀγαθῶμ τοῖς φίλοις συνεύχεσθαι. τὴν γὰρ οὖσαν ὑπερβάντας τοῦ

χην, ἤκιστ' ἔχειν τὴν ὁμοίαν ἔτι δύνασθαι φιλίαν.
ὁ αὐτὸς εἶπεν. ἀξίωμα μέγιστον, οὐ τὸ κεχρῆσθαι
τιμαῖς, ἀλλὰ τὸ ἄξιον αὐτῶν εἶναι νομίζεσθαι.
ὁ αὐτὸς συνεχῶς ἔλεγεν, ὡς ἡ μὲν ὅρασις ἀπὸ
τοῦ περιέχοντος ἀέρος λαμβάνει τὸ φῶς. ἡ
δὲ ψυχή, ἀπὸ τῶμ μαθημάτων. ὁ αὐτὸς,
τριῶν ἔφη δεῖν παιδείᾳ. φύσεως. μαθήσεως.
ἀσκήσεως. ὁ αὐτὸς τῆς παιδείας ἔφη τὰς
μὲν ῥίζας εἶναι πικράς. τὸμ δὲ καρπὸν, γλυκύν.
ὁ αὐτὸς ἐρωτηθεὶς τί γηράσκει ταχὺ, χάρις ἔφη.
ὁ αὐτὸς ἐρωτηθεὶς τί ἐστιν ἐλπὶς; ἐγρηγορότος
εἶπεν ἐνύπνιον. ὁ αὐτὸς ἔφη. αἱ πλεῖσται
στάσεις διὰ φιλοτιμίαμ ταῖς πόλεσι γίνονται.
περὶ τιμῆς γὰρ οὐχ οἱ τυχόντες, ἀλλ' οἱ δυνα
τώτατοι διαμφισβητοῦσιμ. ὁ αὐτὸς ἐρω
τηθεὶς διατί μέγας ὢν μικρὰμ ἔγημε γυναῖ
κα, εἶπε. τοῦ κακοῦ ἐκλογὴμ ποιησάμενος, τὸ
ἐλάχιστομ ᾑρετισάμημ. ὁ αὐτὸς ὀνειδιζό
μενος ὅτι πονηρῷ ἀνθρώπῳ ἐλεημοσύνημ
ἔδωκεν, οὐ τὸμ τρόπομ εἶπεμ, ἀλλὰ τὸν ἀνθρω

πομήλεκσα. ὁ αὐτὸς σωκράτην μὲν ἔλε
γεν ὀλιγοχρόνιον τυραννίδα. πλάτωνα δὲ, προ
τέρημα φύσεως. θεόφραστον, σιωπῶσαν ἀπά
την. θεόκριτον, ἐλεφαντίνην ζημίαν. καρνεά
δην, ἀδορυφόρητον βασιλείαν. ὁ αὐτὸς ἐρω
τηθεὶς τίνι διαφέρουσιν οἱ πεπαιδευμένοι τῶν
ἀπαιδεύτων; ὅσῳ εἶπεν οἱ ζῶντες τῶν τεθνεώ
των. ὁ αὐτὸς, τῶν ἀνθρώπων ἔλεγε τοὺς μὲν οὕτω
φείδεσθαι, ὡς ἀεὶ ζησομένους. τοὺς δ' οὕτως ἀ
ναλίσκειν, ὡς αὐτίκα τεθνηξομένους. ὁ αὐτὸς
ἐρωτηθεὶς, τί ποτε αὐτῷ περιγέγονεν ἐκ φιλο
σοφίας; ἔφη. τὸ ἀνεπιτάκτως ποιεῖν, ἃ τινὲς
διὰ τὸν ἀπὸ τῶν νόμων φόβον ποιοῦσιν.
ὁ αὐτὸς ἐρωτηθεὶς, πῶς ἂν προκόπτοιεν οἱ μα
θηταί; ἔφη. ἐὰν τοὺς προέχοντας διώκοντες,
τοὺς ὑστεροῦντας μὴ ἀναμένωσιν. ὁ αὐτὸς,
τὸν ἐν νόσῳ διαθήκας γράφοντα, ἔφη παραπλή
σια πάσχειν, τοῖς ἐν χειμῶνι θαλαττίῳ ἐυθε
τίζειν ἀρχομένοις τὰ τῆς νηὸς ὅπλα. ὁ αὐτὸς
βλασφημούμενος ὑπὸ ἀνθρώπου ἀσελγοῦς, ἔ

φη. σὺ καὶ ἀκούεις τὰ κακὰ ῥᾳδίως, καὶ λέγεις.
ἐμοὶ δὲ λέγειν ἀηθές, καὶ ἀκούειν ἀηδές.

ὁ αὐτὸς ἐν τῷ σοφιστῇ φησὶ, πρῶτον ἐμπεδο
κλέα ῥητορικὴν εὑρεῖν. ζήνωνα δὲ, διαλεκτικήν.
ἐν δὲ τῷ περὶ ποιητῶν φησὶ, καὶ ὅτι ὁμηρικὸς
ὁ ἐμπεδοκλῆς, καὶ δεινὸς περὶ τὴν φράσιν γέγο
νε. φορητικός τε ὢν, καὶ τοῖς ἄλλοις τοῖς περὶ
ποιητικὴν ἐπιτεύγμασι χρώμενος. ὁ αὐτὸς
ἔφη, ἐν παντὶ τῷ βίῳ τρεῖς μεταμελείας εἶναι·
μίαν μὲν ἐπὶ τῷ γυναικὶ πιστεῦσαι λόγον ἀπόρ
ῥητον. ἑτέραν δὲ, πλεῦσαι, ὅπου δυνατὸν ἦν
πεζεῦσαι. τὴν δὲ τρίτην, ὅτι μίαν ἡμέραν ἀ
διάθετος ἔμεινας. ὁ αὐτὸς ἐρωτηθεὶς δια
τί τῶν καλῶν ὁ ἔρως, τυφλοῦ εἶπεν ἡ ἐρώ
τησις. ὁ αὐτὸς ἔφη, τὸ κάλλος πάσης ἐπι
στολῆς συστατικώτερον εἶναι. ὁ αὐτὸς τοὺς
τὰ ἐναργῆ πράγματα πειρωμένους δεικνύ
ναι, ὅμοιον ἔφη ποιεῖν, τοῖς διὰ λύχνου τὸν ἥλι
ον φιλοτιμουμένοις δεικνύναι. ὁ αὐτὸς ἐρω
τηθεὶς ὑπό τινος, τί δυσκολώτατόν ἐστιν

ἐν τῷ βίῳ, εἶπε. τὸ σιωπᾶμ ἃ μὴ δεῖ λαλεῖν.
ὁ αὐτὸς θεασάμενος νεανίσκον κατωφρυωμένον,
μηδὲν δὲ ἐπιστάμενον, νεανίσκε ἔφη. οἷος μὲν
δοκεῖς αὐτὸς εἶναι, ἐγὼ γενοίμην. οἷος δὲ τῇ ἀλη
θείᾳ ὑπάρχεις, τοιοῦτοι μοι οἱ ἐχθροὶ γένοιντο.
ὁ αὐτὸς, κατανοήσας μειράκιομ ἐπὶ πολυτε
λείᾳ τῆς χλαμύδος σεμνυνόμενον, οὐ παύ
σῃ ἔφη μειράκιομ ἐπὶ προβάτου σεμνυνόμε
νος ἀρετῇ; ὁ αὐτὸς ἔφη. ὁ φθόμος ἀνταγωνι
στής ἐστι τῶμ εὐτυχούντων. ὁ αὐτὸς ἐρωτη
θεὶς, εἰ ὁ ἔρως ἕνεκα τῆς συμουσίας γίγνεται,
οὔτ' ἔφη διὰ τοῦτο, οὔτ' ἄνευ τούτου.
ὁ αὐτὸς εἶπεν. εἰ τρέφεται ὁ κόσμος, καὶ φθαρήσε
ται. ἀλλὰ μὴμ οὐδεμιᾶς ἐπιδέεται τροφῆς,
διὰ τοῦτο καὶ ἀΐδιος. πλάτων αὐτὸν αὑτῷ
τὸμ κόσμομ ἐκ τοῦ φθίνοντος κατὰ μεταβο
λὴν τὸ τρέφον παρέχεσθαι. φιλόλαος διττὴν
εἶναι τὴμ φθοράν. τοτὲ μὲν ἐξ οὐρανοῦ πυρὸς
ῥυέντος. τοτὲ δὲ ἐξ ὕδατος σεληνιακοῦ, πε
ριστροφῇ τοῦ ἀέρος ἀποχυθέντος. καὶ τούτων
εἶναι τὰς ἀναθυμιάσεις, τροφὰς τοῦ κόσμου.

## ΑΛΕΞΑΝΔΡΟΥ.

λέξανδρος ὁ φιλίππου καὶ ὀλυμπιά-
ἀ δος μακεδὼν, ἐρωτηθεὶς ὑπό τινος
ποῦ τοὺς θησαυροὺς ἔχεις, δείξας τοὺς
φίλους, ἔφη ἐμ τούτοις. ὁ αὐτὸς ἐρωτηθεὶς
ποῖος βασιλεὺς ἄριστος, ἔφη. ὁ τοὺς φίλους
δωρεαῖς συνέχων, τοὺς δὲ ἐχθροὺς διὰ τῶμ
εὐεργεσιῶν φίλους ποιούμενος. ὁ αὐτὸς ξε-
νοκράτει τῷ φιλοσόφῳ πεντήκοντα τάλαντα
πέμψας, ὡς οὐκ ἐδέξατο μὴ δεῖσθαι φήσας,
ἠρώτησεν εἰ μηδὲ φίλον ἔχει ξενοκράτης. ἐ-
μοὶ γὰρ ἔφη μόλις ὁ δαρείου πλοῦτος εἰς τοὺς
φίλους ἤρκεσεν. ὁ αὐτὸς, τινὸς τῶν αὐτοῦ
φίλωμ αἰτήσαντος αὐτὸμ εἰς προῖκα τῆς θυγα-
τρὸς, ἐκέλευσε πεντήκοντα τάλαντα λαβεῖν.
αὐτοῦ δὲ φήσαντος ἱκανὰ εἶναι δέκα, σοὶ μὲν
ἔφη λαβεῖν, ἐμοὶ δὲ οὐχ ἱκανὰ δέκα δοῦναι.
ὁ αὐτὸς, ἀχθείσης παιδίσκης πρὸς αὐτὸν, ὡς
συναναπαυσομένης πρὸς ἑσπέραν βαθεῖαν.

ἠρώτησεν ὅτι τηνικαῦτα, τῆς δὲ εἰπούσης ὅτι περιέμενον γὰρ τὸν ἄνδρα κατακλῖναι, πικρῶς ἐπετίμησε τοῖς παισὶν, ὡς μικροῦ δι' αὐτοὺς μοιχὸς γενόμενος. ὁ αὐτὸς εἰς ἰλλυριοὺς παραγενόμενος, ἐν τῷ τοῦ διὸς βωμῷ κατιδὼν γυναῖκα κάλλει διαφέρουσαν, ἐκπλαγεὶς αὐτῆς τὴν εὐμορφίαν, πολὺν χρόνον ἐθεᾶτο. τοῦ δὲ ἡφαιστίωνος εἰπόντος, εἰκός ἐστι παραλαβεῖν αὐτὸν τὴν ἐρωμένην, ἔφη. καὶ πῶς οὐ δεινὸν, εἰ οἱ ἄλλων ἀκρασίας κολάζειν βουλόμενοι, δουλεύοντες ἀκρασίαις ὑπὸ τῶν ἐκτὸς ἀνθρώπων φωραθῶμεν. ὁ αὐτὸς παῖς ὢν, πολλὰ τοῦ φιλίππου κατορθοῦντος, οὐκ ἔχαιρεν. ἀλλὰ πρὸς τοὺς συντρεφομένους ἔλεγε παῖδας, ἐμοὶ μὲν ὁ πατὴρ οὐθὲν ἀπολείψει. τῶν δὲ παίδων λεγόντων ὅτι ταῦτά σοι κτᾶται, τί δὲ ὄφελος εἶπεν, ἐὰν ἔχω μὲν πολλὰ, πράξω δὲ οὐδέν. ὁ αὐτὸς ἐλαφρὸς ὢν καὶ ποδώκης, καὶ παρακαλούμενος ὑπὸ τοῦ πατρὸς ὀλύμπια δραμεῖν στάδιον, εἰ

κε ἔμελλον ἔφη βασιλεῖς ἕξειν ἀνταγωνιστάς.
ὁ αὐτὸς παρακαλούμενος ὑπὸ τῶν φίλων, νυ
κτὸς ἐπιθέσθαι τοῖς πολεμίοις, εἶπεν. οὐ βα
σιλικόν ἐστι κλέπτειν τὴν νίκην. ὁ αὐτὸς ἐ
ρωτηθεὶς τίνα μᾶλλον ποθεῖ, τὸν πατέρα φί
λιππον, ἢ ἀριστοτέλη τὸν διδάσκαλον; τὸν δι
δάσκαλον ἔφη. ὁ μὲν γὰρ τοῦ γενέσθαι. ὁ δὲ,
τοῦ καλῶς γενέσθαι αἴτιος. ὁ αὐτὸς ἰδὼν
τινὰ τῶν γερόντων βάπτοντα τὰς τρίχας, εἶπε.
μὴ τὰς τρίχας βάπτε, ἀλλ' εἰ δύνασαι τὰ γόνα
τα. ὁ αὐτὸς εἶπε, τῆς αὐτῆς ἁμαρτίας εἶναι
τὸ διδόναι οἷς μὴ δεῖ, καὶ τὸ μὴ διδόναι οἷς δεῖ.
ὁ αὐτὸς θεασάμενός τινα ὁμώνυμον αὐτῷ δειλὸν
ὄντα, ἔφη. νεανίσκε. ἢ τὸ ὄνομα ἄλλαξον, ἢ τὸν
τρόπον. ὁ αὐτὸς ἀναξάρχῳ τῷ φιλοσόφῳ
δοῦναι τὸν διοικητὴν ἐκέλευσεν, ὅσον ἂν
αἰτήσῃ. τοῦ δὲ διοικητοῦ φήσαντος ὡς ἑκα
τὸν αἰτεῖται τάλαντα, καλῶς ἔφη ποι
εῖ. γινώσκων ὅτι φίλον ἔχει. καὶ δυνάμενον
τηλικαῦτα δωρεῖσθαι, καὶ βουλόμενον.

αὐτῷ ἐπιθυμιῶντι τοῖς θεοῖς ἀφειδῶς, καὶ πολ
λάκις ἐπιδραττομένῳ τοῦ λιβανωτοῦ, πα
ρὼν λεωνίδης ὁ παιδαγωγὸς, οὕτως εἶπεν ὦ
παῖ δαψιλῶς ἐπιθυμιάσεις, ὅταν τῆς λιβα
νωτοφόρου κρατήσῃς. ὡς οὖν ἐκράτησεν, ἔ
› πεμψεν ἐπιστολὴν πρὸς αὐτόν. ἀπέσταλ
› κά σοι τάλαντα λιβανωτοῦ καὶ κασίας, ἵνα μη
› κέτι μικρολογῇ πρὸς τοὺς θεούς. εἰδὼς ὅτι καὶ
› τῆς ἀρωματοφόρου κρατοῦμεν. ὁ αὐτὸς, τῶν
ἰνδῶν τὸν ἄριστα δοκοῦντα καὶ λεγόμενον διὰ
δακτυλίου τὸν ἰστὸν ἀφιέναι, ἐκέλευσεν ἐπι
δείξασθαι. καὶ μὴ βουλόμενον, ὀργισθεὶς ἀνελεῖν
προσέταξεν. ἐπεὶ δὲ ἀπαγόμενος ὁ ἄνθρωπος
ἔλεγε πρὸς τοὺς ἄγοντας, ὅτι πολὺς χρόνος
ἐστὶν ἀφ᾽ οὗ ἐπὶ χεῖρας τόξον οὐκ ἔλαβον,
καὶ τὸ ἀποτυχεῖν ἐφοβήθην, ταῦτα ἀκούσας
ἀλέξανδρος ἐθαύμασε. καὶ ἀπέλυσε μετὰ
δώρων αὐτόν. ὅτι μᾶλλον ἀποθανεῖν ὑπέμει
νεν, ἢ τῆς δόξης ἀνάξιος φανῆναι. ὁ αὐτὸς,
πυθόμενος ὑπό τινος λοιδορεῖσθαι, βασιλικὸν

ἔφη, εὖ ποιοῦντα κακῶς ἀκούειν. αὐτοῦ ἐξιόν
τος ἐπὶ τὸν πόλεμον, ἀριστοτέλης ἔλεγε. πε
ριμένειν τὸ τέλειον τῆς ἡλικίας, καὶ τότε πο
λεμεῖν. ὁ δὲ, φοβοῦμαι εἶπε, μὴ περιμένων
τὸ τέλειον τῆς ἡλικίας, τὴν τῆς νεότητος τόλ
μαν ἀπολέσω. ὁ αὐτὸς πληρώσας ὀστέων
πίνακα, ἔπεμψε διογένει τῷ κυνικῷ. ὁ δὲ,
λαβὼν εἶπε. κυνικὸν μὲν τὸ βρῶμα. οὐ βασι
λικὸν δὲ τὸ δῶρον. ὀλυμπιὰς ἡ μήτηρ αὐτοῦ
πρὸς αὐτὸν ἔλεγε. κρείσσων γέγονας, ἢ μηδὲ
συνέφερεν. ἐπὶ κακῷ δηλονότι τὸ ἄριστον, ἔτε
κον ἄριστον. καὶ δύστηνον. λαβοῦσα ἴσως ἐκ τοῦ,
ὤμοι δυσαριστοτόκεια. ὁ αὐτὸς τὴν ἄνυδρον ὁ
δεύων, αὐτός τε ὑπὸ δίψους ἐπόνει, καὶ οἱ
μακεδόνες. οἱ δὲ κατάσκοποι τῆς χώρας ἐν
κοίλῃ πέτρᾳ μικρὸν ὑδάτιον εὑρόντες, τοῦ
το βαλόντες ἐπὶ κράνος, ἀλεξάνδρῳ κομίζου
σιν. ὁ δὲ τῇ στρατιᾷ δείξας, ὡς ἐνθυμεῖν χρὴ
φανέντος ὕδατος, αὐτὸς μὴ πιὼν ἐξέχεε τὸ
κράνος πάντων ὁρώντων. οἱ δὲ μακεδόνες

ἀλαλάξαντες, ἐκέλευον αὐτὸν ἡγεῖσθαι τῆς ὁ
δοῦ. πρὸς τὸ δίψος ἐυρώστως ἀντέχοντες, διὰ
τὴν τοῦ βασιλέως ἐγκράτειαν. ὁ αὐτὸς πολεμῶν
προσέταξε τοῖς στρατηγοῖς ξυρεῖν τὰ τῶν μακε
δόνων γένεια. ἵνα μὴ παρέχοιεν πρόχειρον λα
βὴν τοῖς ἐναντίοις. ὁ αὐτὸς τοῦ οἰνοχόου αὐτοῦ
ἀπολέσαντος φιάλην χρυσῆν, καὶ διὰ τοῦτο φο
βουμένου, μαθὼν τοῦτο, προσκαλεσάμενος ἀπε.
θάρρει ὦ παῖ. ὅπου γὰρ ἂν εἴη, ἡμετέρα ἐστίν.
ὁ αὐτὸς νοσήσας μακρὰν νόσον, ὡς ἀνέρρωσεν,
οὐδὲν ἔφη διατεθῆναι χεῖρον. ὑπέμνησε γὰρ
ἡμᾶς ἡ νόσος, μὴ μέγα φρονεῖν θνητοὺς ὄντας.
ὁ αὐτὸς παρακαλούμενος ὑπὸ τῶν φίλων τε
κνοποιῆσαι, ἔφη. μὴ ἀγωνιᾶτε. καταλείπω
γὰρ ὑμῖν τέκνα, τὰς ἐκ τῶν ἀγώνων μου νίκας.
ὁ αὐτὸς, ἐπεὶ ἀντίπατρος αὐτῷ πολλὰ κατὰ
τῆς μητρὸς ἔγραφεν, ἀγνοεῖς ἔφη ἀντίπατρε, ὅ
τι μητρὸς ἓν δάκρυον, πολλῶν διαβολῶν
ἐπιστολὰς ἀπαλείφει. ὁ αὐτὸς ἰδὼν διο
γένην κοιμώμενον ἐν πίθῳ, ἔφη. πίθε μεστὲ

φρενῶν. ὁ δὲ φιλόσοφος ἀμαστὰς ἔφη. ὦ βα-
σιλεῦ μέγιστε. θέλω τύχης σταλαγμὸν, ἢ φρε-
νῶν πίθον. ἧς μὴ παρούσης, δυστοχοῦσιν αἱ
φρένες. ὁ αὐτὸς τοξεύματι πληγεὶς εἰς τὸ
σκέλος, ὡς πολλοὶ συνέδραμον τῶν πολλά-
κις εἰωθότων αὐτὸν θεὸν προσαγορεύειν, δια-
χυθεὶς τῷ προσώπῳ, τουτὶ μὲν αἷμα εἶπεν
ὡς ὁρᾶτε, καὶ οὐκ ἰχώρ, οἷος πέρ τε ῥέει
μακάρεσσι θεοῖσιν. ὁ αὐτὸς ὁμήρου εἰπόν-
» τος, τρήρωνες. ταί τ' ἀμβροσίην διὶ πατρὶ φέ-
» ρουσι, διὰ τὸ δοκεῖν ἔλεγε τοὺς θεοὺς φιλοσό-
φους, καὶ ἡδονῆς μείζους, ἀναθεῖναι τὸν ποιη-
τὴν τὴν ἐκείνων τροφὴν τῷ ἀσθενεστάτῳ καὶ
δυσφορωτάτῳ ζώῳ. ὑφ' οὗ βραχύ τι ἂν πα-
ρακομίζοιτο. ἄλλοι δὲ, δία μὲν νομίζου-
σι τὸν ἥλιον, ἀκολούθως τῷ πλάτωνι. ὃς ἐν
φαίδρῳ φησίν. ὁ μὲν δὴ μέγας ἐν οὐρανῷ ζεὺς,
ὅς ἐστιν ὁ ἥλιος πτηνὸν ἅρμα ἐλαύνων. ἀμβρο-
σίαν δὲ τὰς ἀτμίδας, αἷς ὁ ἥλιος τρέφεται.
καθὰ δοξάζει καὶ δημόκριτος. δῆλον δὲ ὡς καὶ

ἐκ θαλάττης τοιαύτη ἀνιμωμένη τροφή, ἀμα
φέρεται. καὶ ἀριστοτέλης δὲ ἀλληγορικῶς
εἶπε δηλοῦν ὅμηρον ἐξ ἀμαθυμιάσεως τρέφε
σθαι τοὺς θεούς, ἤτοι τὰ ἄνω σώματα, ἀμω
πόρον ζῷον παραλαβόντα εἰς ἔνδειξιμ τῆς τοι
αύτης τροφῆς. τὸ δὲ ἀφαιρεῖσθαί τι ὑπὸ τῆς
πέτρας, δηλοῦμ ἔφη ὡς καὶ ἡ γῆ ἕλκει ἐκ τῆς τοι
αύτης ἀμαθυμιάσεως. Ἀλέξανδρος δὲ ὁ πά
φιος ἱστορεῖ τὸμ ὅμηρον υἱὸν αἰγυπτίωμ. δημα
γόρου καὶ αἴθρας. τροφὸμ δὲ αὐτοῦ προφῆτιν
τινὰ θυγατέρα ὥρου ἱερέως ἴσιδος. ἧς ἐκ τῶμ
μαστῶν μέλι ῥεῦσαι ἐπὶ τὸ στόμα τοῦ παι
δίου. καὶ τὸ βρέφος ἐν νυκτὶ φωνὰς ἐννέα προέ
σθαι. χελιδόνος. ταῶμος. περιστερᾶς. κορώ
νης. πέρδικος. πορφυρίωνος. ψαρός. ἀηδό
νος. κοττύφου. εὑρεθῆναί τε τὸ παιδίομ μετὰ
περιστερῶν ἐννέα παῖζομ ἐπὶ τῆς κλίνης. εὐω
χουμένημ δὲ παρὰ τοῖς τοῦ παιδὸς γονεῦσι τὴν
σιβύλλαμ ἐμμανῆ γενομένημ, ἔπη σχεδιά
σαι. ὧν ἡ ἀρχή, δαμαγόρα πολυνίκην. ἐμ οἷς

καὶ μεγακλεῆ. καὶ στεφανίτην αὐτὸν προστάττειν.
καὶ ναὸν κτίσαι κελεῦσαι ἐννέα πελειάδων. ἐ
δήλου δὲ τὰς μούσας. τὸν δὲ, καὶ τοῦτο ποιῆ
σαι. καὶ τῷ παιδὶ ἀνδρωθέντι ἐξειπεῖν τὸ πρᾶγ
μα. καὶ τὸν ποιητὴν οὕτω σεμνῦναι τὰ ζῷα.
οἷς βρέφος ὢν συνέπαιξε. καὶ ποιῆσαι αὐτὰ
τῷ διῒ τὴν ἀμβροσίαν κομίζειν. Ἄλλοι δὲ
φασὶ τὸν ὅμηρον αἰνιττόμενον, ὡς τῶν πληϊά
δων ἓξ ὁρωμένων, ὅμως ὁ ἀριθμὸς αὐτῶν οὐκ
ἀπόλλυται. ἑπτὰ οὖν οὔσας, φαίνονται ἓξ τῶν
ἐκεῖ. τῆς μιᾶς διὰ τὸ καὶ ἄλλως ἀμυδρὸν τοῦ
ἀστρῴου ἀφανιζομένης ὑπὸ τῶν πετρῶν. ὡς
δὲ ἡμεῖς, φασὶ πελειάδων ἐπιτελλουσῶν ἀρ
χόμεθα θερίζειν, οὕτω καὶ θεοὶ τὴν ἀμβροσί
αν κομίζουσιν. Ἀλεξάνδρου πρὸς ὑρκανίαν
ἐπανελθόντος, ἧκε πρὸς αὐτὸν ἡ βασίλισσα
τῶν ἀμαζόνων. ὄνομα θάληστρις, μετὰ τριακο
σίων ἀμαζονίδων κεκοσμημένων πολεμι
κοῖς ὅπλοις. βασιλεύουσα τῆς μεταξὺ τοῦ
φάσιδος καὶ θερμώδοντος χώρας. ἦν δὲ τῷ,

τε κάλλει καὶ τῇ τοῦ σώματος ῥώμῃ διαφέρου-
σα. τοῦ δὲ βασιλέως θαυμάζοντος τό, τε πα-
ράδοξον τῆς παρουσίας, καὶ τὸ ἀξίωμα τῆς γυ-
ναικῶν, καὶ τὴν θάληστριν ἐρομένου τίνα χρείαν
ἔχουσα πάρεστιν, ἀπεφαίνετο παιδοποιΐας
ἕνεκεν. ἐκεῖνον γὰρ τῶν ἁπάντων ἀνδρῶν διὰ
τὰς πράξεις ἄριστον ὑπάρχειν. αὐτὴν δὲ τῶν γυ-
ναικῶν, ἀλκῇ τε καὶ ἀνδρείᾳ διαφέρειν. εἰκὸς
οὖν τὸ γεννώμενον ἐκ δυοῖν γονέων πρωτευ-
όντων, ὑπερέξειν ἀρετῇ τῶν ἄλλων ἀνθρώπων.
καὶ πέρας ἡσθεὶς ὁ βασιλεύς, καὶ προσδεξάμε-
νος τὴν ἔντευξιν αὐτῆς, καὶ συμπεριενεχθεὶς
ἡμέρας ιγ΄, τιμήσας τε ἀξιολόγοις δώροις, ἐ-
ξαπέστειλεν εἰς τὴν οἰκίαν. ὁ αὐτὸς, δέκα
λαβὼν ἰνδῶν γυμνοσοφιστὰς τοὺς δοκοῦντας
ἀρίστους εἶναι, καὶ βραχυλογωτάτους, προβλή-
ματα αὐτοῖς προὔθηκε. τὸν μὴ ἀποκρινό-
μενον εὐστόχως, ἀνελεῖν ἀπειλήσας. ἕνα τὸν
πρεσβύτερον αὐτῶν ἐπικρίνειν κελεύσας.
ὁ μὲν οὖν πρῶτος ἐξετασθεὶς, πότερον οἴεται

τοὺς ζῶντας εἶναι πλείονας, ἢ τοὺς τεθνεῶτας;
τοὺς ζῶντας ἔφη. οὐ γὰρ εἶναι τοὺς τεθνεῶτας.
ὁ δεύτερος δὲ, πότερον τὴν γῆν, ἢ τὴν θάλασσαν
μείζονα θηρία τρέφειν, τὴν γῆμ ἔφη. ταύτης γὰρ
μέρος εἶναι τὴν θάλασσαν. ὁ δὲ τρίτος, ποῖόν
ἐστι τῶν ζώων πανουργότατον ὃ μέχρι νῦν οὐκ ἐ-
γνώσθη, εἶπεν ἄνθρωπος. ὁ δὲ τέταρτος ἀνα-
κρινόμενος τίνι λογισμῷ τὸμ σαββᾶ ἀπέστη-
σαν ἄρχοντα αὐτῶν ὄντα, ἀπεκρίθη. καλῶς ζῆμ
βουλόμενοι αὐτὸμ, ἢ κακῶς ἀποθανεῖμ.
ὁ δὲ πέμπτος ἐρωτηθεὶς πότερομ οἴεται τὴν
ἡμέραμ προτέραν, ἢ τὴμ νύκτα γεγονέναι,
εἶπεν ἡμέρα μία. τῶν γὰρ ἀπόρων ἐρωτή-
σεωμ, ἀνάγκη καὶ τὰς ἀποκρίσεις ἀπόρους
εἶναι. ὁ δὲ ἕκτος ἀπορηθεὶς πῶς ἄν τις φι-
ληθείη μάλιστα, ἂμ κράτιστος ὢμ ἔφη, μὴ
φοβερὸς εἴη. ὁ δὲ ἕβδομος ἐρωτηθεὶς
πῶς ἄν τις ἐξ ἀνθρώπων γένοιτο θεός; εἰ
πράξειεμ εἶπεμ, ἃ πρᾶξαι ἄνθρωπομ
μὴ δυνατόν ἐστιν.

ὁ δὲ ὄγδοος ἐρωτηθεὶς τί ἰσχυρότερον. ζωὴ ἢ
θάνατος, ζωὴν ἔφη. τοσαῦτα κακὰ φέρουσα.
ὁ δὲ ἔννατος ἐξετασθεὶς μέχρι τίνος ἀνθρώ
πῳ καλῶς ἔχει ζῆμ, μέχρις οὗ ἔφη τὸ τεθνάναι
μὴ νομίζῃ τοῦ ζῆμ ἄμεινον. κελεύσαντος δὲ
τοῦ ἀλεξάνδρου, καὶ τὸν δέκατομ εἰπεῖν τί, δι
καστὴς γὰρ ἦν, ἕτερος ἔφη ἑτέρου χεῖρον εἰπεῖν.
τοῦ δὲ ἀλεξάνδρου φήσαντος, οὐκοῦν καὶ σὺ
πρῶτος ἀποθανῇ τοιαῦτα κρίνων. καὶ πῶς
εἶπε βασιλεῦ ἀληθὴς εἴης, φήσας πρῶτον ἀ
ποκτεῖναι, τὸν πρῶτομ ἀποκρινάμενον κάκιστα.

ΑΓΑΛΛΙΟΥ.

Ἀγαλλίας ὁ κερκυραῖος, ἀριστοφάνους γνώριμος,
εἶπε τὰς δύο πόλεις ἃς φησὶν ἐν τῇ ἀσπίδι
ποιεῖ ὅμηρος, εἶναι ἀθήνας, καὶ ἐλευσῖνα. κα
τασκευάζων οὕτως. τὴν μὲν προτέραν, ἐπεὶ
κατὰ γένεσιμ τοῦ κόσμου πρώτη πόλις αἱ
ἀθῆναι. μετὰ δὲ τὴν φύσιμ τῶν στοιχείων, ὁ
θεὸς τὴν πόλιμ τειχοποιεῖ. ἐπιφέρει δὲ γάμους
καὶ ὑμεναίους ἐμ ἀθήναις. ταῦτα γὰρ πρῶτον

ἤχθη. αὐλούς τε ἐν τοῖς γάμοις εὗρεν ἀθηνᾶ. δίκην τε ἐν τῇ πόλει. παρὰ γὰρ ἀθηναίοις πρῶτον ἐγένετο δικαστήριον ἐπὶ ἁλιρροθίῳ τῷ ποσειδῶνος. οἱ δὲ δικασταὶ, ἀθήνησι μισθὸν λαμβάνουσι. καὶ διὰ τοῦτο λέγει κεῖσθαι ἐν μέσῳ δύο, χρυσοῦ τάλαντα. τὴν δὲ ἑτέραν πόλιν οὖσαν ἐλευσῖνα. πόλεμον δὲ ἔσχον ἀθηναῖοι πρὸς ἐλευσινίους. ὃν αὐτοῖς ἐπολέμησεν εὔμολπος, καὶ ποσειδῶν. βοηθοὶ δὲ αὐτοῖς εἰσὶν, ἄρης τε καὶ ἀθηνᾶ. ὁ μὲν χάριν ἀποδιδούς. ὅτι ἀπελύθη κριθεὶς ἐν ἀρείῳ πάγῳ. ἡ δὲ, ὅτι τῆς πόλεως ὡς οἰκείας ἐκήδετο. καὶ τὰ ἐπαγόμενα, ἴδια ἐλευσῖνος. εὑρεῖα τριπτόλεμος. ἐπείπερ ἐλευσῖνι πρῶτον καρποὺς δημήτηρ ἔδωκεν. ἡ δὲ σταφυλῆς μέγα βρίθουσα ἀλωὴ. ἐπὶ ἰκαρίῳ καὶ διονύσῳ πορεία. ὁ δὲ ποικιλλόμενος χορὸς, ἀριάδνης καὶ θησέως ἔχει πράξεις. ἴδιος δὲ καὶ ὁ τεχνίτης τῶν ἀθηνῶν ἥφαιστος. ἐριχθονίῳ γὰρ τῷ υἱῷ χαριζόμενος, βασιλεύοντι τῶν ἀθηνῶν, τὴν τοιαύτην παρασκευὴν

παρήγαγε. τὸν ἄρειον δὲ πάγον ἑρμηνεύει ὁ ἱερὸς κύκλος. οἱ δὲ δικασταὶ, ἀθηνῶμ.

ἈΓΑΘΟΚΛΈΟΥΣ.

Ἀγαθοκλῆς, υἱὸς ἦμ κεραμέως. γενόμενος δὲ κύριος σικελίας, καὶ βασιλεὺς ἀναγορευθεὶς, εἰώθει κεραμεᾶ ποτήρια τιθέναι παρὰ τὰ χρυσᾶ. καὶ τοῖς νέοις ἐπιδεικνύμενος λέγειν. ὅτι τοιαῦτα ποιῶν πρότερομ, νῦν ταῦτα ποιεῖ διὰ τὴν ἐπιμέλειαν καὶ τὴν ἀνδρείαν. ὁ αὐτὸς πολιορκῶν ποτὲ πόλιμ, ἐπειδὴ τῶμ ἀπὸ τοῦ τείχους τινὲς ἐλοιδοροῦμτο λέγοντες· ὦ κεραμεῦ τὸν μισθὸν πόθεν ἀποδώσεις τοῖς στρατιώταις, πρᾶος καὶ μειδιῶμ εἶπεν. αἴκα ταύταν ἕλω. λαβὼν δὲ κατὰ κράτος, ἐπίπρασκε τοὺς αἰχμαλώτους λέγωμ. ἐὰμ με πάλιμ λοιδορῆτε, πρὸς τοὺς κυρίους ὑμῶν ἔσται μοι ὁ λόγος. ὁ αὐτὸς, ἐγκαλούντων τοῖς ναύταις αὐτοῦ τῶν ἰθακησίων, ὅτι τῇ νήσῳ προσβαλόντες τῶν θρεμμάτων τινὰ ἀπέσπασαμ. ὁ δὲ ὑμέτερος ἔφη βασιλεὺς ἐλθὼν πρὸς ἡμᾶς,

οὐ μόνον τὰ πρόβατα λαβὼν, ἀλλὰ καὶ τὸν ποι-
μένα προσεκτυφλώσας, ἀπῆλθεν.

## ἈΓΑΣΙΚΛΈΟΥΣ

Ἀγασικλῆς ὁ λακεδαιμονίων βασιλεὺς, πρὸς τὸν ἐπόμεντα πῶς ἄν τις ἀδορυφόρητος ὢν ἄρχειν ἀσφαλῶς δύναιτο, ἐὰν οὕτως ἔφη αὐτῶν ἄρχῃ, ὥσπερ οἱ πατέρες τῶν υἱῶν. ὁ αὐτὸς, θαυμάζοντός τινος ὅτι φιλήκοος ὢν οὐ προσδέχεται φιλοφάνην τὸν σοφιστὴν, ἔφη. τούτων χρήζω μαθητὴς εἶναι, ὧν εἰμὶ καὶ υἱός.

## ἈΓΑΜΈΜΝΟΝΟΣ.

Ἀγαμέμνων φυλαττόμενος τὸ δόξαι θατέρῳ τῶν ἡρώων χαρίσασθαι, αἰχμαλώτους τῶν τρώων συναγαγὼν, ἤρετο αὐτοὺς ὁπότερος τῶν δύο τούτων ἡρώων αἴαντος λέγω καὶ ὀδυσσέως, πρὸς κακοῦ μᾶλλον ἐγένετο; τῶν δὲ εἰπόντων ὡς ὀδυσσεὺς, ἔκρινε λοιπὸν ἄριστον εἶναι, τὸν πλεῖστα μάλιστα λυπήσαντα τοὺς ἐχθρούς. ὅθεν ὅμηρος. παῖδες δὲ τρώων δίκασαν, καὶ πολλὰς ἀθήνη.

Ἀγησίλαος ὁ μέγας, ἐπαινοῦντός τινος ῥήτορα ἐπὶ τῷ δυνατῶς αὔξειν τὰ μικρὰ πράγματα, οὐδὲ σκυτοτόμον ἔφησεν ἡγοῦμαι σπουδαῖον, ὃς σμικρῷ ποδὶ ὑποδήματα μεγάλα περιτίθησιν. Ὁ αὐτὸς ὁπότε ψεγομένων τινῶν, ἢ ἐπαινουμένων ἀκούοι, οὐχ ἧττον ᾤετο δεῖν καταμανθάνειν τοὺς τῶν λεγόντων τρόπους, ἢ περὶ ὧν λέγοιεν. Ὁ αὐτὸς ἔλεγεν οὐχ οἱ τόποι τοὺς ἄνδρας ἐντίμους, ἀλλ' οἱ ἄνδρες τοὺς τόπους ἐπιδεικνύουσιν. Ὁ αὐτὸς, ἰδὼν μῦν ἑλκόμενον ἐκ θυρίδος ὑπὸ παιδαρίου κρατοῦντος, ἐπεὶ ὁ μῦς ἐπιστραφεὶς ἔδακε τὴν χεῖρα τοῦ κρατοῦντος καὶ ἔφυγεν, ἐπιδείξας τοῖς παροῦσιν εἶπεν. ὅταν τὸ ἐλάχιστον ζῷον οὕτως ἀμύνεται τοὺς ἀδικοῦντας, τί τοὺς ἄνδρας προσήκει ποιεῖν λογίζεσθαι;

Ὁ αὐτὸς ἐρωτηθεὶς, ἄχρι τίνος εἰσὶν οἱ τῆς Λακωνικῆς ὅροι, τὸ δόρυ κραδάνας εἶπεν. ἄχρις οὗ τοῦτο φθάνοι. Ὁ αὐτὸς, τινὸς ἐπιζητοῦντος

διατί

διατί ἀτείχιστος ἡ σπάρτη, ἐπιδείξας τοὺς πολίτας ἐξωπλισμένους, ταῦτά ἐστιν ἔφη τὰ λακεδαιμονίων τείχη. Ἄλλου δὲ τὸ αὐτὸ ἐπιζητοῦντος, οὐ λίθοις δεῖ καὶ ξύλοις τετειχίσθαι τὰς πόλεις ἔφη. ταῖς δὲ τῶν ἐνοικούντων ἀρεταῖς. ὁ αὐτὸς, τοῖς αὐτοῦ φίλοις παρήγγελλε, μὴ χρήμασιν. ἀνδρίᾳ δὲ καὶ ἀρετῇ σπουδάζειν πλουτεῖν. ὁ αὐτὸς ἐρωτώμενος πῶς μεγάλην δόξαν περιεποιήσατο, θανάτου καταφρονήσας ἔφη. ὁ αὐτὸς μακαρίζοντος τινος τὸν περσῶν βασιλέα νέον κομιδῇ ὄντα, εἶπεν. ἀλλ' οὐδὲ πρίαμος ταύτην ἔχων τὴν ἡλικίαν ἠτύχησεν. ὁ αὐτὸς ἐρωτώμενος, διατί μάλιστα παρὰ τοὺς ἄλλους εὐδαιμονοῦσιν οἱ σπαρτιᾶται, διότι εἶπε παρὰ τοὺς ἄλλους ἀσκοῦσιν ἄρχειν τε καὶ ἄρχεσθαι.

ὁ αὐτὸς ἐρωτηθεὶς, πῶς ἄν τις μάλιστα παρ' ἀνθρώποις εὐδοκιμοίη, εἰ λέγοι εἶπε τὰ ἄριστα. πράττοι δὲ τὰ κάλλιστα. ὁ αὐτὸς, τὸν στρατηγὸν δεῖν ἔφασκε πρὸς μὲν τοὺς ἐναντίους

τόλμαν. πρὸς δὲ τοὺς ὑποτεταγμένους εὔνοι-
αμ ἔχειμ. ὁ αὐτὸς, ἐπιζητοῦντός τινος τίνα δεῖ
μανθάνειν τοὺς παῖδας, ταῦτα εἶπεν, οἷς καὶ ἄν-
δρες γενόμενοι χρήσονται. ὁ αὐτὸς ἔλεγε,
τοὺς τὴν ἀσίαν κατοικοῦντας, ἐλευθέρους μὲν,
κακοὺς εἶναι. δούλους δὲ, ἀγαθούς. ὁ αὐτὸς,
περὶ ἀμδρείας καὶ δικαιοσύνης ἐρωτηθεὶς, πό-
τερα βελτίων, οὐδὲν ἀνδρείας ἔφη χρήζομεν,
ἐὰν πάντες ὦμεμ δίκαιοι. ὁ αὐτὸς, λακε-
δαιμονίωμ νικησάντωμ ἀθηναίους, καὶ τοὺς συμ-
μάχους ἐν κορίνθῳ, πυθόμενος τὸ πλῆθος τῶν
πολεμίων νεκρῶν, φεῦ τῆς ἑλλάδος εἶπεν.
ἣ τοσούτους ὑφ᾽ ἑαυτῆς ἀπολώλεκεν, ὅσους
ἀρκεῖ τοὺς βαρβάρους νικῆν ἅπαμτας.
Ἀποθμήσκωμ δὲ, τοὺς φίλους ἐκέλευσε μηδε-
μίαν πλάθαν. μὴ δὲ μιμηλὰν ποιήσασθαι.
τὰς εἰκόνας οὕτω προσαγορεύων. εἰ γάρ τι
καλὸν ἔργον πεποίηκα, τοῦτό μου μνημεῖ-
όν ἐστιμ. εἰ δὲ μηδέμ, οὐδ᾽ εἰ πάμτες ἀνδρι-
άντες. ξενοφῶν δὲ περὶ αὐτοῦ ἔλεγε. ποίας

γὰρ νεότητος οὐ κρεῖττον τὸ ἐκείνου γῆρας.

## ἌΓΙΔΟΣ.

Ἆγις ὁ βασιλεὺς οὐκ ἔφη τοὺς λακεδαιμονίους ἐρωτᾶν πόσοι εἰσίν. ἀλλὰ ποῦ εἰσὶν οἱ πολέμιοι. ὁ αὐτὸς ἐν μαντινέᾳ κωλυόμενος διαμάχεσθαι τοῖς πολεμίοις πλείοσιν οὖσιν, εἶπεν. ἀνάγκη πολλοῖς μάχεσθαι, τὸν ἄρχειν πολλῶν βουλόμενον. ὁ αὐτὸς, πρὸς ἄνθρωπον πονηρὸν ἐρωτῶντα πολλάκις τίς ἄριστος εἴη σπαρτιατῶν; εἶπεν. ὁ σοὶ ἀνομοιότατος. ὁ αὐτὸς, πρὸς τὸν πυνθανόμενον πόσοι εἰσὶν οἱ λακεδαιμόνιοι, πολλοί σοι ἔφη δόξουσιν εἶναι, ἐὰν αὐτοὺς ἴδῃς μαχομένους. πρεσβευτὴς ἐκ περίνθου παραγενόμενος εἰς λακεδαίμονα, ἐμακρηγόρει. ὡς δ᾽ ἐπαύσατο λέγων, καὶ ἠρώτα τὸν ἆγιν τί δεῖ τοῖς περινθίοις ἀπαγγεῖλαι, τί δ᾽ ἄλλο ἔφη, ἢ ὅτι σὺ μὲν μόλις ἐπαύσω λέγειν, ἐγὼ δ᾽ ἐσιώπων.

## ΑΙΣΩΠΟΥ.

Αἴσωπος ὀνειδισθεὶς ὑπό τινος ἐπὶ τῷ χαλεπὴν ἔχειν τὴμ ὄψιμ, ἔφη. οὐκ εἰς τὸ εἶδος. ἀλλ' εἰς τὸμ νοῦμ προσέχειμ δεῖ. ὁ αὐτὸς, ἀκούσας παρά τινος ὅτι ὁ δεῖνα λέγει κατὰ σοῦ, καὶ τὴν λοιδορίαμ ἐξειπόντος, ἔφη. οἱ τὰς μαχαίρας ποιοῦντες, οὐκ αὐτοὶ ἀποκτείνουσιν. ἀλλ' οἱ χρώμενοι ταῖς ὑπ' ἐκείνων κατεσκευασμέναις. καὶ ἐμὲ νῦμ, οὐκ ἐκεῖνος λέγει κακῶς. ἀλλὰ σὺ ὁ χρώμενος τῇ ἐκείμου βλασφημίᾳ.

Ὁ αὐτὸς ἐρωτηθεὶς τί ὄφελος τοῖς ψευδομένοις ἐκ τοῦ ψεύδους, ἔφη. τὸ, κἂν ἀληθῆ λέγωσι μὴ πιστεύεσθαι. ὁ αὐτὸς ἐρωτηθεὶς τί οἱ θεοὶ πράττουσιμ, ἔφη. τὰ μὲμ, οἰκοδομεῖν. τὰ δὲ, καταβάλλειμ.

## ΑΛΕΞΙΔΟΣ.

Ἄλεξις ὁ τῶμ κωμῳδιῶν ποιητὴς, ἐπειδή τις αὐτὸμ ὄντα πρεσβύτην ἑώρα μόλις πορευόμενον, καὶ ἠρώτα τί ποιεῖς, ἔφη κατὰ σχολὴμ ἀποθνήσκω.

ὁ αὐτὸς εἶπε.

τὰς ἑβδομὰς συλλέγειν τὸν σώφρονα.
τρεῖς δ' εἰσὶν αἵδε τὴν δύναμιν κεκτημέναι,
τὴν ὡς ἀληθῶς συντελοῦσαν τῷ βίῳ.
τὸ πιεῖν, τὸ φαγεῖν, τὸ τῆς ἀφροδίτης τυγχάνειν.
τὰ δ' ἄλλα προσθήκας ἅπαντα χρὴ καλεῖν.

ὁ αὐτὸς εἶπεν.

οὐκ ἔστι παιδαγωγὸς ἀνθρώποις ἄρα
ἔρωτος οὐδεὶς ἄλλος ἐπιμελέστερος.
εἶτ' οὐ μέγιστός ἐστι τῶν θεῶν ἔρως,
καὶ τιμιώτατός γε τῶν πάντων πολύ;
οὐδεὶς γὰρ οὕτως ἐστὶ φειδωλὸς σφόδρα
ἄνθρωπος, οὐδ' οὕτως ἀκριβὴς τοὺς τρόπους,
ὃς οὐχὶ τούτῳ μερίδα τῷ θεῷ νέμει.

ὁ αὐτὸς εἶπε.

τοιοῦτο τὸ ζῆν ἐστιν ὥσπερ οἱ κύβοι.
οὐ ταὔτ' ἀεὶ πίπτουσιν, οὐδὲ τῷ βίῳ
ταὐτὸν διαμένει σχῆμα. μεταβολὰς δ' ἔχει.

ὁ αὐτὸς εἶπε.

κἂν εὐτυχῇ τις ὡς ἔοικε προσδοκᾶν

λεί τι δεῖ. καὶ μήτι πιστεύσῃ τύχῃ.

ὁ αὐτὸς εἶπε.

Τῶν μετρίων αἱ μείζονες λῦπαι,
ποιοῦσι τοῦ φρονεῖν μετάστασιν.

ὁ αὐτὸς εἶπεν.

Οὐκ ἔσθ' ὅπως ἔχουσιν αἱ τύχαι φρένας.
οὐδεὶς γὰρ ἂν τοιοῦτος, ἠτύχει ποτέ.

## ΑΛΚΙΒΙΑΔΟΥ.

Ἀλκιβιάδης προσελθὼν διδασκαλείῳ, ῥαψῳδίαν ἰλιάδος ᾔτει. τοῦ δὲ διδασκάλου μηδὲν ἔχειν ὁμήρου φήσαντος, ἐμρίψας αὐτῷ κόνδυλον παρῆλθεν. ὁ αὐτὸς ἔτι παῖς ὤν, ἐλήφθη λαβὴν ἐν παλαίστρᾳ. καὶ μὴ δυνάμενος διαφυγεῖν, ἔδακε τὴν χεῖρα τοῦ καταπαλαίοντος. εἰπόντος δὲ ἐκείνου, δάκνεις ὡς αἱ γυναῖκες. οὐ μὲν οὖν εἶπεν, ἀλλ' ὡς οἱ λέοντες. ὁ αὐτὸς ἔχων κύνα πάγκαλον ἐωνημένον ἑπτακισχιλίων δραχμῶν, ἀπέκοψεν αὐτοῦ τὴν οὐράν. ἐρωτήσαντος δὲ τινος αὐτὸν τίνος χάριν τοῦτο πεποίηκεν, ὅπως ἔφη τοῦτο λέγωσιν ἀθη-

ναῖοι περὶ ἐμοῦ. καὶ μηδὲμ ἄλλο πολυπραγμο-
νῶσι. ὁ αὐτὸς, καλούμενος ἐπὶ κρίσιν θανα-
τικὴν ὑπὸ ἀθηναίων ἀπὸ σικελίας, ἔκρυψεν
ἑαυτὸν εἰπὼμ, εὐήθη εἶναι τὸν δίκημ ἔχον-
τα ζητεῖν ἀποφυγεῖν, ἐξὸμ φυγεῖν. εἰπόν-
τος δέ τινος οὐ πιστεύεις τῇ πατρίδι τὴν πε-
ρὶ σεαυτοῦ κρίσιν, ἐγὼ μὲν ἔφη οὐδὲ τῇ μη-
τρί. μή πως ἀγνοήσασα, τὴμ μέλαιναν βάλῃ
ψῆφον ἀντὶ τῆς λευκῆς. ἀκούσας δὲ ὅτι
θάνατος αὐτοῦ. καὶ τῶμ σὺμ αὐτῷ κατέγνω-
σαι, δείξωμεν οὖν εἶπεν ὅτι ζῶμεν. καὶ πρὸς
λακεδαιμονίους μεταψάμενος, τὸν δεκελει-
κὸν ἤγειρεν ἐπὶ τοὺς ἀθηναίους πόλεμον.

ΑΜΑΣΙΔΟΣ.

Ἄμασις ὁ τῶν αἰγυπτίων βασιλεὺς, φίλῳ ἀποβαλόντι υἱὸν, γράφων παραμυθητικὸμ εἶπεν. εἰ ὅτε οὐδέ πω ἦν οὐκ ἐλυποῦ, μὴ δὲ νῦν ὅτε οὐκέτι ἔσται λυπηθῇς.

Ἄμασις πολυκράτει ὧδε λέγει. ἡδὺ μὲμ πυνθάνεσθαι ἄνδρα φίλομ καὶ ξεῖνομ

εὖ πρήσσοντα. ἐμοὶ δὲ αἱ σαὶ μεγάλαι εὐτυχίαι οὐκ ἀρέσκουσιν, ἐπισταμένῳ τὸ θεῖον, ὡς ἐστὶ φθονερόν. καίκως βούλομαι καὶ αὐτός. καὶ τῶν ἂν κήδομαι, τὸ μέν τι εὐτυχέειν τῶν πρηγμάτων. τὸ δὲ, προσπταίειν. καὶ οὕτω διαφέρειν τὸν αἰῶνα ἐναλλὰξ πρήσσων. ἢ εὐτυχέειν τὰ πάντα. οὐδένα γάρ κω λόγῳ οἶδα ἀκούσας, ὅς τις ἐς τέλος οὐ κακῶς ἐτελεύτησε πρόρριζος, εὐτυχέων τὰ πάντα. Ἀναξιμένης ἔλεγε. τοῖς ἀστείοις πρεσβύταις, ὅσον αἱ κατὰ τὸ σῶμα ἡδοναὶ ἀπομαραίνονται, τοσοῦτον αἱ περὶ τοὺς λόγους ἐπιθυμίαι πάλιν αὔξονται.

## ἈΝΑΞΆΡΧΟΥ.

Ἀνάξαρχος ἀβδηρίτης, ἐν συμποσίῳ τῷ ἀλεξάνδρου ἐρωτήσαντος αὐτὸν, τί ἄρα δοκεῖ τὸ δεῖπνον, ἔφη. ὦ βασιλεῦ. πάντα πολυτελῶς. ἔδει δὲ λοιπὸν κεφαλὴν σατράπου τινὸς παρατεθῆναι. ἀπορρίπτων πρὸς τὸν νικοκρέοντα. ὁ δὲ μνησικακήσας μετὰ τὴν τελευτὴν τοῦ

βασιλέως, ὅτε πλέων ἀκουσίως προσηνέχθη τῇ κύπρῳ, ὁ ἀνάξαρχος συλλαβὼν αὐτὸν, καὶ εἰς ὅλμον βαλὼν, ἐκέλευσε τύπτεσθαι σιδηροῖς ὑπέροις. τὸν δὲ, οὐ φροντίσαντα τῆς τιμωρίας εἰπεῖν. ἐκεῖνο δὴ τὸ περιφερόμενον. πτύσαι πτύσαι τὸν ἀναξάρχου θύλακον. ἀνάξαρχον οὐ πλήττεις. κελεύσαντος δὲ τοῦ νικοκρέοντος καὶ τὴν γλῶτταν αὐτοῦ ἐκτμηθῆναι, λόγος ἀποφαγόντα, προσπτύσαι αὐτῷ.

ΑΝΤΑΓΟΡΟΥ.

Ἀνταγόρας, ἐπεὶ ἀνεγίγνωσκε παρὰ βοιωτοῖς τὸ τῆς θηβαΐδος σύγγραμμα, καὶ οὐδεὶς ὑπεσημαίνετο, κλείσας τὸ βιβλίον, δικαίως εἶπε καλεῖσθε βοιωτοί. βοῶν γὰρ ὦτα ἔχετε.

ΑΝΤΙΦΑΝΟΥΣ.

Ἀντιφάνης εἶπεν, ὁ μηδὲν ἀδικῶν, οὐδενὸς δεῖται νόμου. ὁ αὐτὸς εἶπεν.

Ἐν γῇ πένεσθαι κρεῖττον, ἢ πλουτοῦντα πλεῖν.

ὁ αὐτὸς εἶπεν.

Ὀφθαλμιῶν ἄνθρωπος ἰσχυρῶς, κακὰ

πάμπολλα πάσχων, ἓν ἀγαθὸν πάσχει μόνον.
ὅτ' οὐχ ὁρᾷ γεναῖκα τοῦτον τὸν χρόνομ.

ὁ αὐτὸς εἶπεν.

Ἆρ' ἐστι λῆρος πάντα πρὸς τὸ χρυσίον.
μόνον γὰρ ἀεὶ διαμένειν εἴωθ' ἀεί.
τὸ χρῶμα δ' αὐτό. τῶν φίλωμ δὲ τοὺς τρόπους,
οὐδέποθ' ὁμοίως ζωγραφοῦσιμ αἱ τύχαι.
Πλοῦτος δὲ βάσανός ἐστιν ἀνθρώπου τρόπων.
ὅταν εὐπορῶμ γὰρ αἰσχρὰ πράττει πράγματα.
τί τοῦτ' ἀπορρήσαντ' ἂν οὐκ οἴει ποιεῖμ.

ὁ αὐτὸς εἶπεν.

οὐ πώποτ' ἐζήλωσα πλουτοῦντα σφόδρα
ἄνθρωπον, ἀπολαύομτα μηδὲμ ὧν ἔχει.

ὁ αὐτὸς εἶπεμ.

ὁ πλοῦτος ἡμᾶς καθάπερ ἰατρὸς κακός,
τυφλοὺς βλέποντας παραλαβὼν, πάντας ποιεῖ.

ὁ αὐτὸς εἶπε.

τρόπος δίκαιος κτῆμα τιμιώτατον.

ὁ αὐτὸς εἶπε.

πρὸς τὸ γῆρας ὥσπερ ἐργαστήριον.

Ἅπαντα τἀνθρώπεια προσφοιτᾷ κακά.

ὁ αὐτὸς εἶπε.

τὸ γῆρας, ὥσπερ βωμός ἐστι τῶν κακῶν.
πάντ' ἔστ' ἰδεῖν γὰρ εἰς τοῦτο καταπεφευγότα.

ὁ αὐτὸς ἔφη.

ὥς ἐστι τὸ γαμεῖν, ἔσχατον τοῦ δυστυχεῖν.

ἈΝΑΞΑΓΟΡΟΥ.

Ἀναξαγόρας Ἡγησιβούλου κλαζομένιος πρῶτος τῇ ὕλῃ νοῦν ἐπέστησεν. ἀρξάμενος οὕτως τοῦ συγγράμματος· ὅ ἐστιν ἡδέως καὶ μεγαλοφρόνως ἡρμηνευμένον. πάντα χρήματα ἦν ὁμοῦ. εἶτα νοῦς ἐλθὼν αὐτὰ διεκόσμησε. παρὸ καὶ νοῦς ἐκλήθη. καὶ φησὶ περὶ αὐτοῦ τίμων ἐν τοῖς σίλλοις, οὕτω. που ἀναξαγόρην φὰς ἔμμεναι ἄλκιμον ἥρωνουν. ὅτι δὴ νόος αὐτῷ ὡς ἐξαπίνης ἐπεγείρας, πάντα συνεσφήκωσεν ὁμοῦ τεταραγμένα πρόσθεν. ὁ αὐτὸς, δύο ἔλεγε διδασκαλίας εἶναι θανάτου. τόν τε πρὸ τοῦ γενέσθαι χρόνον, καὶ τὸν ὕπνον. ὁ αὐτὸς πρὸς τὸν εἰπόντα οὐδέν σοι μέλλει τῆς πατρίδος, ἔφη. ἐμοὶ γὰρ καὶ σφόδρα μέλλει. δείξας τὸν οὐρανόν.

Αὐτὸν φασὶ προειπεῖν τὴν περὶ αἰγὸς ποταμοὺς γενομένην τοῦ λίθου πτῶσιν. ὃν εἶπεν ἐκ τοῦ ἡλίου πεσεῖσθαι. ὅθεν καὶ εὐριπίδην μαθητὴν ὄντα αὐτοῦ, χρυσέαν βῶλον εἰπεῖν τὸν ἥλιον ἐν τῷ φαέθοντι. ὁ αὐτὸς πρὸς τὸν εἰπόντα εἰ τὰ ἐν λαμψάκῳ ὄρη ἔσται ποτὲ θάλασσα, ἔφη. ἐάν γε ὁ χρόνος μὴ ὑπολείπῃ. ὁ αὐτὸς πρὸς τὸν εἰπόντα ἐστερήθης ἀθηναίων, οὐ μὲν οὖν ἔφη. ἀλλ᾽ ἐκεῖνοι ἐμοῦ. ὁ αὐτὸς ἐρωτηθεὶς εἰς τί γεγένηται, εἰς θεωρίαν ἔφη ἡλίου. καὶ σελήνης. καὶ οὐρανοῦ. Ἀντίγονος, πρός τινα μακαρίζουσαν αὐτὸν γραῦν, εἰ ᾔδεις ὦ μῆτερ ἔφη ὅσων κακῶν ἐστὶ μεστὸν τουτὶ τὸ ῥάκος, δείξας τὸ διάδημα, οὐκ ἂν ἐπὶ κοπρίας αὐτὸ κείμενον ἐβάστασας.

## ΑΝΤΙΦΩΝΤΟΣ.

Ἀντιφῶν εἶπε. τέχνῃ κρατοῦμεν ὧν φύσει νικώμεθα. ὁ αὐτὸς εἶπεν. εἰ δέοι τι ἁμαρτεῖν, τὸ ἀδίκως ἀπολῦσαι ὁσιώτερον, ἢ τὸ ἀδίκως ἀπολέσαι. τὸ μὲν γὰρ

ἁμάρτημά ἐστι. τὸ δὲ ἀδίκως ἀποκτεῖναι, ἀσέβημα.

## ΑΝΑΧΑΡΣΙΔΟΣ.

Ἀνάχαρσις ὁ Γνούρου σκύθης ἐρωτηθεὶς πῶς οὐκ ἄν τις γένοιτο φιλοπότης, εἰ πρὸ ὀφθαλμῶν ἔχει τὰς τῶν μεθυόντων ἀσχημοσύνας εἶπεν. ὁ αὐτὸς μαθὼν τέτταρας δακτύλους εἶναι τὸ πάχος τῆς νεώς, τοσοῦτον ἔφη τοῦ θανάτου τοὺς πλέοντας ἀπέχειν. ὁ αὐτὸς, τὸ ἔλαιον μανίας φάρμακον ἔλεγε. διὰ τὸ ἀλειφομένους τοὺς ἀθλητὰς, ἐπιμαίνεσθαι ἀλλήλοις. ὁ αὐτὸς θαυμάζειν ἔλεγε, πῶς οἱ ἕλληνες ἀπαγορεύοντες μὴ ψεύδεσθαι, ἐν ταῖς καπηλείαις φανερῶς ψεύδονται. ὁ αὐτὸς ἔφη. γλώσσης. γαστρός. αἰδοίων κρατεῖν.

ὁ αὐτὸς ἐρωτηθεὶς τίνα τῶν πλοίων ἐστὶν ἀσφαλέστερα, ἔφη τὰ νεωκείμενα. ὁ αὐτὸς ἐρωτηθεὶς διὰ τίνα αἰτίαν οἱ ἄνθρωποι λυποῦνται πάντοτε, ἔφη. ὅτι οὐ μόνον αὐτοὺς τὰ ἴδια κακὰ λυπεῖ, ἀλλὰ καὶ τὰ ἀλλότρια ἀγαθά.

ὁ αὐτὸς ἐρωτηθεὶς, πότεροι πλείους εἰσὶν οἱ-

ζῶντες, ἢ οἱ νεκροί. τοὺς οὖν πλέοντας ἔφη
ποῦ τίθης. ὁ αὐτὸς ὀνειδιζόμενος ὑπὸ
ἀττικοῦ, ὅτι σκύθης ἐστὶν. ἀλλ' ἐμοὶ μὲν
ὄνειδος εἶπεν ἡ πατρίς. σὺ δὲ τῆς πατρί
δος. ὁ αὐτὸς ἐρωτηθεὶς τί ἐστιν ἐν ἀνθρώ
ποις ἀγαθόν τε καὶ φαῦλον, γλῶσσα ἔφη.
ὁ αὐτὸς ἔλεγε, κρεῖττον ἕνα φίλον ἔχειν πολ
λοῦ ἄξιον, ἢ πολλοὺς μηδενὸς ἀξίους.
ὁ αὐτὸς τὴν ἀγορὰν ὡρισμένον ἔφη τόπον
εἰς τὸ ἀλλήλους ἀπατᾶν, καὶ πλεονε-
κτεῖν. ὁ αὐτὸς ὑπὸ μειρακίου παρὰ πό
τον ὑβρισθεὶς, ἔφη. μειράκιον, ἐὰν νέος ὢν
τὸν οἶνον μὴ φέρῃς. γέρων γενόμενος, ὕ
δωρ οἴσεις. εὗρε δ' ὡς βίον ἄγκυραν,
καὶ κεραμικὸν τροχόν. φασὶ ποτὲ τοῦ
τον κοιμώμενον, κατέχειν τῇ μὲν δεξιᾷ
τὸ στόμα. τῇ δὲ λαιᾷ, τὰ αἰδοῖα. αἰνιττόμε
νον δεῖν μὲν ἀμφοῖν. μεῖζον δὲ εἶναι γλώτ
της κρατεῖν, ἢ ἡδονῆς.

## ἈΝΤΙΣΘΈΝΟΥΣ

Ἀντισθένης ἀντισθένους ἀθηναῖος. μὴ ὢν ἰθαγενής, καὶ ὀνειδιζόμενος, εἶπε. καὶ ἡ μήτηρ τῶν θεῶν φρυγία ἐστίν. ἐδόκει γὰρ εἶναι θρᾴττης μητρός. ὅθεν καὶ ἐν τανάγρᾳ κατὰ τὴν μάχην εὐδοκιμήσας, ἔδωκε λέγειν σωκράτει, ὡς οὐκ ἂν ἐκ δυοῖν ἀθηναίων, οὕτως ἐγεγόνει γενναῖος. ὁ αὐτὸς πρῶτος τὸν λόγον ὡρίσατο εἰπών, λόγος ἐστίν, ὁ τὸ τί ἦν ἢ ἔστι δηλῶν. ὁ αὐτὸς πρὸς τὸ ποντικὸν μειράκιον μέλλον φοιτᾶν αὐτῷ. καὶ πυθόμενον τίνων αὐτῷ δεῖ, φησὶ βιβλαρίου, καὶ νοῦ. καὶ γραφιδίου, καὶ νοῦ. καὶ πινακιδίου, καὶ νοῦ. τὸν νοῦν παρεμφαίνων. ὁ αὐτὸς μυούμενος ποτὲ τὰ ὀρφικά, τοῦ ἱερέως εἰπόντος, ὅτι οἱ ταῦτα μυούμενοι, πολλῶν ἀγαθῶν ἐν ᾅδου μετέχουσι, τί οὖν ἔφη οὐκ ἀποθνήσκεις. ὁ αὐτὸς ἐρωτηθείς, διατί ὀλίγους ἔχει μαθητάς, ὅτι ἀργυρέᾳ αὐτοὺς ἔφη ἐκβάλλω ῥάβδῳ.

ὁ αὐτὸς ἐρωτηθεὶς, τί μακαριώτερον ἐν ἀνθρώποις, ἔφη εὐτυχοῦντα ἀποθανεῖν. ὁ αὐτὸς γνωρίμου ποτὲ πρὸς αὐτὸν ἀποδυρομένου ὡς εἴη τὰ ὑπομνήματα ἀπολωλεκώς, ἔδει γὰρ ἔφη ἐν τῇ ψυχῇ αὐτὰ, καὶ μὴ ἐν ταῖς χάρταις καταγράφειν. ὁ αὐτὸς ἔλεγε τοὺς βουλομένους ἀθανάτους εἶναι, δεῖν ζῆν εὐσεβῶς, καὶ δικαίως. ὁ αὐτὸς εἶπε τότε τὰς πόλεις ἀπόλλυσθαι, ὅταν μὴ δύνωνται τοὺς φαύλους ἀπὸ τῶν σπουδαίων διακρίνειν. ὁ αὐτὸς ἔφη. ὥσπερ ὑπὸ τοῦ ἰοῦ τὸν σίδηρον, οὕτως ὑπὸ τοῦ ἰδίου ἤθους, τοὺς φθονεροὺς κατεσθίεσθαι.

ὁ αὐτὸς εἶπεν, ὁμονοούντων ἀδελφῶν συμβίωσιν, παντὸς τείχους ἰσχυροτέραν εἶναι.

ὁ αὐτὸς, τοιαῦτα ἔφη δεῖν ἐφόδια ποιεῖσθαι, ἃ καὶ ναυαγήσαντι συγκολυμβήσει. ὁ αὐτὸς ἔσκωπτε πλάτωνα ὡς τετυφωμένον. πομπῆς οὖν γενομένης, ἵππον θεασάμενος φρυακτὴν, φησὶ πρὸς πλάτωνα. ἐδόκεις μοι καὶ σὺ ἵππος ἂν εἶναι λαμπρυντὴς, τοῦτο δὲ εἶπεν.

ἐπεὶ

ἐπεὶ συνεχῶς ὁ πλάτων ἵππων ἐπῄνει. καί
ποτε ἐλθὼν πρὸς αὐτὸν νοσοῦντα, καὶ θεα
σάμενος λεκάνην, ἔνθα ὁ πλάτων ἐνημέκει,
ἔφη. χολὴν μὲν, ὁρῶ ἐνταῦθα. τύφον δὲ οὐχ
ὁρῶ. ὁ αὐτὸς ἐρωτηθεὶς ὑπὸ σωκράτους,
καθά φησι φανίας ἐν τῷ περὶ τῶν σωκρα
τικῶν, τί ποιῶν καλὸς κἀγαθὸς ἔσοιτο, ἔφη. εἰ
τὰ καλὰ ἃ ἔχεις, ὅτι φευκτά ἐστι μάθοις
παρὰ τῶν εἰδότων. ὁ αὐτὸς, ποντικοῦ νε
ανίσκου πολυωρήσειν αὐτὸν ἐπαγγελλομέ
νου, εἰ τὸ πλοῖον ἀφίκοιτο τῶν ταρίχων, λα
βὼν αὐτὸν καὶ θύλακον κενὸν, πρὸς ἀλφιτόπω
λιν ἧκε. καὶ σαξάμενος ἀπῄει. τῆς δὲ αἰτού
σης τὸ διάφορον. ὁ νεανίσκος ἔφη δώσει, ἐὰν
τὸ πλοῖον αὐτοῦ τῶν ταρίχων ἀφίκηται.
ὁ αὐτὸς διδακτικὴν ἀπεδείκνυε τὴν ἀρετὴν
πρὸς εὐδαιμονίαν. μηδενὸς προσδεομένην,
ὅτι μὴ σωκρατικῆς ἰσχύος. τήν τε ἀρετὴν
τῶν ἔργων εἶναι, μὴ λόγων πλείστων δεομέ
νην. μή τε μαθημάτων. αὐτάρκη τε εἶναι τὸν

σοφόμ. πάντα γὰρ αὐτοῦ εἶναι τὰ τῶν ἄλλων.
τήν τε ἀδοξίαμ ἀγαθόμ, καὶ ἴσομ τῷ πόνῳ. καὶ
τὸν σοφὸν οὐ κατὰ τοὺς κειμένους νόμους πο-
λιτεύεσθαι, ἀλλὰ κατὰ τὸν τῆς ἀρετῆς. ὁ αὐ-
τὸς γαμήσειν ἔλεγε τεκνοποιίας χάριν, ταῖς
εὐφυεστάταις συνιόντα γυναιξὶ, καὶ ἐρασθήσε-
σθαι δέ. μόνομ γὰρ εἰδέναι τὸν σοφὸμ τίνων χρὴ
ἐρᾶμ. ὁ αὐτὸς ἔλεγε, συμμάχους ποιεῖσθαι
τοὺς εὐψύχους ἅμα καὶ δικαίους. ἀναφαίρετον
γὰρ ὅπλον ἡ ἀρετή. ὁ αὐτὸς ἐρωτηθεὶς ποῖα
" δεῖ μανθάνειν τὸν ὅμηρον, ἔφη. ὅττι τοι ἐν μεγάροι-
" σι κακόμ τ' ἀγαθόν τε τέτυκται. ὁ αὐτὸς ἔφη.
κρεῖττόμ ἐστι μετ' ὀλίγωμ ἀγαθῶμ πρὸς ἅπαν-
τας τοὺς κακοὺς, ἢ μετὰ πολλῶν κακῶν, πρὸς
ὀλίγους μάχεσθαι. ὁ αὐτὸς ἔλεγε, τὸν δίκαιομ
περὶ πλείονος ποιεῖσθαι τοῦ συγγενοῦς. ἀνδρὸς καὶ
γυναικὸς ἡ αὐτὴ ἐστὶν ἀρετή. τἀγαθὰ καλά. τὰ κα-
κὰ αἰσχρά. τὰ πονηρὰ πάντα, νομίζειν ξενικά. τεῖ-
χος ἀσφαλέστατον, φρόνησιν. μήτε γὰρ καταῤ-
ῥεῖν. μήτε προδίδοσθαι. τείχη κατασκευα

FREIE UNIVERSITÄT BERLIN UNIVERSITÄTSBIBLIOTHEK

στέον ἐν τῷ αὐτῷ ἀναλώτοις λογισμοῖς. τοῦτον
θεόπομπος ἐπαινεῖ μόνον, ἐκ πάντων σωκρατι-
κῶν. δεινόν τε εἶναι καὶ διομιλίας ἐμμελοῦς
ὑπαγαγέσθαι παρόντι νοῦν. ἀνῆλεν δὲ ἐκ τῶν
συγγραμμάτων, κἀκ τοῦ ξενοφῶντος συμποσίου.

## ἈΝΑΚΡΈΟΝΤΟΣ.

Ἀνακρέων, δωρεὰν παρὰ πολυκράτους λαβὼν
πέντε τάλαντα, ὡς ἐφρόντισεν ἐπ' αὐτοῖς δυ-
σὶν νυκτοῖν, ἀπέδωκεν αὐτὰ εἰπών, οὐ τιμᾶ-
σθαι αὐτὰ τῆς φροντίδος. ὁ αὐτὸς εἶπεν·
Ἔρωτα γὰρ τὸν ἁβρὸν μέλπομαι βρύοντα.
μίτραις πολυανθέμοις ἀείδειν. ὁ δὲ,
καὶ θεῶν δυνάστης. ὁ δὲ καὶ βροτοὺς δαμάζει.
ὁ αὐτὸς ἔφη.
Ἀπό μοι θανεῖν γένοιτ'. οὐ γὰρ ἂν ἄλλη λύσις
ἐκ πόνων γένοιτ', οὐδ' ἅμα τῶνδε.

## ἈΠΟΛΛΩΝΊΟΥ.

Ἀπολλώνιος ὁ φιλόσοφος, πρὸς τοὺς γραμματέας
τῶν ἐφεσίων νουθετῶν εἶπεν, οἱ παῖδες ὑμῶν πρών
δέονται, οἱ νέοι, γερόντων. αἱ γυναῖκες, ἀνδρῶν.

οἱ ἄνδρες, ἀρχόντων. οἱ ἄρχοντες, νόμων. οἱ
νόμοι, φιλοσόφων. οἱ φιλόσοφοι, θεῶν. οἱ θεοί,
πίστεως. προγόνων ἀγαθῶν ἐστὲ, τὰ παρόντα
μισεῖτε. ὁ αὐτὸς ἔφη. οὐ θρηνητέον οἵων ἐ-
στερήθημεν. ἀλλὰ μνημονευτέον ὅτι μετὰ τῶν
φίλων, τὴν καλίστην βιωτὴν ἐβιώσαμεν.

ἈΡΙΜΝΗΣΤΟΥ.

Ἀρίμνηστος ἐρωτηθεὶς, τί μέγιστον ἀγαθὸν ἀνθρώ-
πῳ; εἶπε. τὸ καλῶς ἀποθανεῖν.

ἈΡΙΣΤΕΙΔΟΥ.

Ἀριστείδης ὁ δίκαιος ὀνειδιζόμενος ἐπὶ πενίᾳ
ὑπό τινος πλουσίου, εἶπεν. ἐμοὶ μὲν ἡ πενία
οὐδὲν ἱστορήσει κακόν. σοὶ δὲ ὁ πλοῦτος, τα-
ραχὰς οὐκ ὀλίγας. ὁ αὐτὸς ἐρωτηθεὶς, πό-
σον ἐστὶ χρόνον ἄνθρωπον καλῶς ζῆν, ἔφη. ἕως
ἂν ὑπολάβῃ τὸ τεθνάναι τοῦ ζῆν κρεῖττον εἶ-
ναι. Ἀριστείδης ἐχθρὸς ὢν Θεμιστοκλέους,
καὶ πρεσβευτὴς ἐκπεμφθεὶς σὺν αὐτῷ, βού-
λει φησὶν ὦ Θεμιστόκλεις ἐπὶ τῶν ὅρων τὴν ἔ-
χθραν ἀπολίπωμεν, ἂν γὰρ δοκῇ πάλιν αὐτὴν

ἐπανιόντες λειψόμεθα. ὁ αὐτὸς, ἐπεὶ τῶν ἀθηναίων ὁρμωμένων ἐπὶ τὸν ἐξοστρακισμὸν, ἄνθρωπος ἀγράμματος καὶ ἄγροικος ὄστρακον ἔχων, προσῆλθεν αὐτῷ κελεύων ἐγγράψαι τὸ ὄνομα τοῦ ἀριστείδου. γιγνώσκεις ἔφη τὸμ ἀριστείδην, τοῦ δὲ ἀνθρώπου γιγνώσκειν μὲμ οὐ φήσαντος, ἄχθεσθαι δὲ τῇ τοῦ δικαίου προσηγορίᾳ, σιωπήσας ἐνέγραψε τὸ ὄνομα τῷ ὀστράκῳ, καὶ ἀπέδωκεν. ὁ αὐτὸς ἐρωτηθεὶς, τί μάλιστα αὐτὸν ἐμ τῇ φυγῇ ἐλύπει, τὸ τῆς πατρίδος ὄνειδος ἔφη. κακῶς ἀκουούσης ἐν τῇ φυγῇ αὐτοῦ. αὐτῷ περὶ πολιτικὰ διατρίβοντι, εἴθε ἔφη ἡ γυνὴ, τὰ μὲν ἴδια, κοινὰ ἐμόμισας. τὰ δὲ κοινὰ, ἴδια.

ΑΡΙΣΤΙΠΠΟΥ.

Ἀρίστιππος ὁ κυρηναῖος φιλόσοφος, ἐρωτηθεὶς τί αὐτῷ περιγέγονεν ἐκ φιλοσοφίας, ἔφη. τὸ δύνασθαι πᾶσι θαῤῥούντως ὁμιλεῖν. ὁ αὐτὸς ὑβριζόμενος ὑπό τινος, ἀνεχώρει. τοῦ δὲ ἐπιδιώκοντος, καὶ λέγοντος φεύγεις, ναὶ ἔφη. τοῦ

μὲν γὰρ κακῶς λέγειν, σὺ τὴν ἐξουσίαν ἔχεις. ἐγὼ δὲ μὴ ἀκούειν, ἐγώ. ὁ αὐτὸς χρισάμενος μύρῳ, κακοὺς κακῶς ἀπολωλέναι τοὺς κιναίδους ἔφασκε. τοῦ μύρου τὴν ὠφέλειαν, εἰς λοιδορίαν διαβεβληκότας. Ἀρίστιππον γάρ τέ φασι, κατὰ πότον κελεύσαντος διονυσίου ἕκαστον ἐν πορφυρᾷ ἐσθῆτι ὀρχήσασθαι, τὸν μὲν πλάτωνα μὴ προσίεσθαι, εἰπόντα οὐκ ἂν δυναίμην θῆλυν ἐνδῦναι στολήν, λαβόντα καὶ μέλλοντα ὀρχήσασθαι, εὐστόχως εἰπεῖν. καὶ γὰρ ἐν βακχεύμασιν οὖσα ἥγε σώφρων, οὐ διαφθαρήσεται. ὁ αὐτὸς εἶπε, μέμνησο λιμοῦ καὶ δίψης. ταῦτα γὰρ δύνανται μεγάλως τοῖς σωφροσύνην διώκουσιν. ὁ αὐτὸς, ἐρωτήσαντος αὐτὸν τινὸς, πόσον αἰτοίη μισθὸν ὑπὲρ τῆς τοῦ τέκνου παιδεύσεως, χιλίας ἔφη δραχμάς. τοῦ δὲ, ἡράκλεις εἰπόντος ὡς ὑπέρπολυ ἤτημαι, δύναμαι γὰρ ἀνδράποδον χιλίων πρίασθαι, τοιγαροῦν εἶπε, δύο ἕξεις ἀνδράποδα. καὶ τὸν υἱὸν. καὶ ὃν ἂν

περίη. ὁ αὐτὸς παρεκελεύετο τοῖς μέσοις
τοιαῦτα ἐφόδια κτᾶσθαι, ἅ τινα αὐτοῖς καὶ
ναυαγήσασι συνεκκολυμβήσει. ὁ αὐτὸς
ἰδὼν τινὰ ὀργιζόμενον, καὶ διὰ τῶν λόγων
χαλεπαίνοντα, ἔφη. μὴ τοὺς λόγους δι᾽ ὀργῆς
ἄγωμεν, ἀλλὰ τὴν ὀργὴν διὰ τῶν λόγων παύ
σωμεν. ὁ αὐτὸς, Διονυσίου ποτὲ τριῶν ἑται
ρῶν οὐσῶν, μίαν ἐκλέξασθαι κελεύσαντος,
τὰς τρεῖς ἀπήγαγεν. εἰπὼν οὐδὲ τῷ πάριδι συ
νήνεγκε μίαν προκρῖναι. ἀπαγαγὼν μέντοι αὐ
τὰς ἄχρι τοῦ θυρῶνος, ἀπέλυσεν. οὕτως ἦν καὶ ἑ
λέσθαι, καὶ καταφρονῆσαι πολύς. διὸ καὶ στρα
τῶνα. οἱ δὲ, πλάτωνα πρὸς αὐτὸν εἰπεῖν. σοὶ μόνῳ
δέδοται χλαμύδα φορεῖν, καὶ ῥάκος. αὐτὸν δὲ
παριόντα λάχανα πλύνων Διογένης ἔσκωψε.
καὶ φησὶν, εἰ ταῦτα ἔμαθες προσφέρεσθαι, οὐκ ἂν
τυράννων αὐλὰς ἐθεράπευες. ὁ δὲ, καὶ σὺ εἶπεν.
εἴπερ ᾔδεις ἀνθρώποις ὁμιλεῖν, οὐκ ἂν λάχανα ἔ
πλυνες. ὁ αὐτὸς ἐρωτηθεὶς ὑπὸ Διονυσίου,
διατί οἱ μὲν φιλόσοφοι, ἐπὶ τὰς τῶν πλουσίων

θύρας ἔρχονται. οἱ δὲ πλούσιοι ἐπὶ τὰς τῶν
φιλοσόφων οὐκέτι, ἔφη. ὅτι οἱ μὲν, ἴσασιν ὧν
δέομται. οἱ δ' οὐκ ἴσασιν. ὁ αὐτὸς ἐρωτη
θεὶς, τίνι διαφέρουσιν οἱ πεπαιδευμένοι τῶν
ἀπαιδεύτωμ, ἔφη. ὥσπερ οἱ δεδαμασμένοι
ἵπποι τῶν ἀδαμάστων. ὁ αὐτὸς αἴνιγμα
τινὸς αὐτῷ προτείνοντος, καὶ εἰπόντος λῦσομ,
τί ὦ μάταιε ἔφη λῦσαι θέλεις, ὃ καὶ δεδεμέ
νον ἡμῖμ πράγματα παρέχει. ὁ αὐτὸς ἄμει
νομ ἔφη ἐπαιτεῖν, ἢ ἀπαίδευτον εἶναι. οἱ μὲμ
γὰρ χρημάτωμ. οἱ δὲ, ἀνθρωπισμοῦ δέονται.
Αὐτῷ εἰς κόρινθομ πλέομτί ποτε, καὶ χειμαζομέ
νῳ, συνέβη ταραχθῆναι. πρὸς οὖμ τὸν εἰπόν
τα, ἡμεῖς μὲν οἱ ἰδιῶται οὐ δεδοίκαμεν, ὑμεῖς
δὲ οἱ φιλόσοφοι δειλιᾶτε, οὐ γὰρ περὶ μιᾶς ἔ
φη ψυχῆς ἀγωνιοῦμεμ ἕκαστοι. ὁ αὐτὸς, λοι
δοροῦντος αὐτῷ τινὸς, ἔφη. τοῦ μὲν λέγειν κα
κῶς, σὺ κύριος εἶ. τοῦ δὲ δικαίως ἀκούειν, ἐγώ.
ὁ αὐτὸς ἔφη πρὸς τὸν ἀδελφόν, μέμνησο ὅτι
τῆς μὲμ διαστάσεως σὺ ἦρξω. τῆς δὲ διαλύ

σεως, ἐγώ. ὁ αὐτὸς ἐρωτηθεὶς τίνι διαφέρει ὁ σοφὸς τοῦ μὴ σοφοῦ, εἰς ἀγνῶτας ἔφη τοὺς δύο γυμνοὺς ἀπόστειλον καὶ εἴσῃ. ὁ αὐτὸς πρὸς τὸν αἰτιώμενον ὅτι ἑταίρᾳ συνοικεῖ, ἆρά γε εἶπεν, μή τι διενέγκαι οἰκίαν λαβεῖν, ἐν ᾗ πολλοί ποτε ᾤκησαν ἢ μηδὲ εἷς; ἀπόντος δ' οὔ, τί δαὶ πλεῦσαι ἐν νηΐ, ἐν ᾗ μύριοι πρότερον ἔπλευσαν, ἢ μηδείς, οὐδαμῶς. οὐδ' ἄρα γυναικὶ ἔφη συμβῆναι ᾗ πολλοὶ κέχρηνται ἢ μηδείς.

ὁ αὐτὸς πρὸς τὸν αἰτιώμενον ὅτι σωκράτους μαθητὴς ὢν, ἀργύριον λαμβάνει, καὶ μάλα εἶπε. καὶ γὰρ σωκράτει πεμπόντων τινῶν καὶ σῖτον καὶ οἶνον ὀλίγα λαμβάνοντα, τὰ λοιπὰ ἀποπέμπειν. εἶχε γὰρ ταμίας τοὺς πρώτους ἀθηναίων. ἐγὼ δὲ εὐτυχίδην ἀργυρώνητον.

ὁ αὐτὸς ἐχρῆτο λαΐδι τῇ ἑταίρᾳ. καθά φησι σωτίων ἐν δευτέρῳ τῶν διαδοχῶν. πρὸς οὖν τοὺς μεμφομένους, ἔφη. ἔχω λαΐδα. ἀλλ' οὐκ ἔχομαι. ἐπεὶ τὸ κρατεῖν καὶ μὴ ἡττᾶσθαι ἡδονῶν, ἄριστον. οὐ τὸ μὴ χρῆσθαι. ὁ αὐτὸς πρὸς

τὸν ὠνησάμενον αὐτῷ πολυτελῆ ὀψωνίαν, σὺ οὐκ ἂν ἔφη τριωβόλου ταῦτα ἐπρίω. ὁμολογήσαντος δὲ, οὐκέτι τοίνυν φιλήδονος ἐγώ. ἀλλὰ σὺ φιλάργυρος. ὁ αὐτὸς σίμου ποτὲ διονυσίου ταμίου πολυτελεῖς οἴκους αὐτῷ καὶ λιθοστρώτους δεικνύντος, ἦν δὲ φρὺξ καὶ ὄλεθρος, ἀναχρεμψάμενος προσέπτυσε τῇ ὄψει. τοῦ δ' ἀγανακτήσαντος, οὐκ εἶχον εἶπε τόπον ἐπιτηδειότερον. ὁ αὐτὸς σεμνυνομένου τινὸς ἐπὶ πολυμαθείᾳ, ἔφη. ὥσπερ οὐχ οἱ τὰ πλεῖστα ἐσθίοντες καὶ γυμναζόμενοι ὑγιαίνουσι μᾶλλον τῶν τὰ δέοντα προσφερομένων, οὕτως οὐχ οἱ πολλὰ, ἀλλ' οἱ χρήσιμα ἀναγινώσκοντες, εἰσὶ σπουδαῖοι. ὁ αὐτὸς, αὐχοῦντός τινος ἐπὶ τὸ κολυμβᾶν, οὐκ αἰσχύνῃ εἶπεν, ἐπὶ δελφίνων ἔργοις ἀλαζονευόμενος; ὁ αὐτὸς, πολυξένου ποτὲ τοῦ σοφιστοῦ εἰσελθόντος πρὸς αὐτὸν, καὶ θεασαμένου γυναῖκάς τε καὶ πολυτελῆ ὀψωνίαν, ἔπειτα αἰτιασαμένου, μικρὸν διαλιπὼν εἶπε. δύνα

σαι καὶ σὺ μεθ' ἡμῶν σήμερον γενέσθαι; τοῦ δὲ ἐπινεύσαντος, τί οὖν ἔφη ἐμέμφου. ἔοικας γὰρ οὐ τὴν ὀψωνίαν, ἀλλὰ τὸ ἀνάλωμα αἰτιᾶσθαι. ὁ αὐτὸς, τοῦ θεράποντος ἐν ὁδῷ βαστάζοντος ἀργύριον καὶ βαρυνομένου, ὥς φασιν οἱ περὶ τὸν βίωνα ἐν ταῖς διατριβαῖς, ἀπόχεε ἔφη τὸ πλέον. ὅσον δύνασαι βάσταζε.

ὁ αὐτὸς, δεόμενός ποτε περὶ φίλου διονυσίου, καὶ μὴ ἐπιτυγχάνων, εἰς τοὺς πόδας αὐτοῦ ἔπεσε. πρὸς οὖν τὸν ἐπισκώψαντα, οὐκ ἐγὼ φησὶν αἴτιος, ἀλλὰ διονύσιος, ὁ ἐν τοῖς ποσὶ τὰς ἀκοὰς ἔχων. ὁ αὐτὸς, τοὺς τῶν κυκλίων παιδευμάτων μετασχόντας, φιλοσοφίας δὲ ἀπολειφθέντας, ὁμοίους ἔλεγεν εἶναι τοῖς τῆς πηνελόπης μνηστῆρσι. καὶ γὰρ ἐκείνους μελανθὼ μὲν, καὶ πολυδώραν, καὶ τὰς ἄλλας θεραπαίνας ἔχειν. πάσας δὲ μᾶλλον, ἢ αὐτὴν τὴν δέσποιναν δύνασθαι γῆμαι. ὁ αὐτὸς, ᾔτει διονύσιον ἀργύριον. καὶ ὃς, ἀλλὰ μὴν ἔφης οὐκ ἀπορήσειν τὸν σοφόν. ὁ δ' ὑπολαβὼν, δός εἶπε. καὶ περὶ τούτου μὴ ζητῶμεν. δόντος, ὁρᾷς δὲ, ἔφη ὅτι οὐκ ἠπόρησα;

## ἈΡΊΣΤΩΝΟΣ.

Ἀρίστων ὁ χῖος, ὁ καὶ φίλανθος ἐπικαλούμενος, τοὺς λόγους τῶμ διαλεκτικῶν εἴκαζε τοῖς τῶν ἀραχνίωμ ὑφάσμασιν. οὐδὲμ μὲν χρησίμους. λίαμ δὲ τεχνικούς. ὁ αὐτὸς ἔφη. ὁ ἐλέβορος ὁλοσχερέστερος μὲν ληφθεὶς, καθαίρει. εἰς δὲ πάνυ μικρὰ τριφθεὶς, πνίγει. οὕτω καὶ ἡ κατὰ φιλοσοφίαν λεπτολογία. ὁ αὐτὸς ἔφη, τὴν διαλεκτικὴν ἐοικέναι τῷ ἐν ταῖς ὁδοῖς πηλῷ. πρὸς οὐδὲν γὰρ οὐδ' ἐκεῖνον χρήσιμον ὄντα, καταβάλλειν τοὺς βαδίζοντας. ὁ αὐτὸς εἶπεν, οἱ ἐμ διαλεκτικῇ βαθύνοντες, ἐοίκασι καρκίνους μασωμένοις. οἳ διὰ ὀλίγον τρόφιμον, περὶ πολλὰ ὄστρα ἀσχολοῦνται. ὁ αὐτὸς τοὺς διαλεκτικοὺς, ἐοικέναι ἔλεγε τοῖς ψηφοπαίκταις. οἵ τινες χαριέντως παραλογίζονται.

## ἈΡΚΕΣΙΛΆΟΥ.

Ἀρκεσίλαος ὁ ἑύθου ἢ σκύθου, ἥμωνός τινος χίου ἀειδοῦς ὄντος, καὶ ὑπολαμβάνοντος εἶναι καλοῦ, καὶ ἐμ χλανίσιν ἀεὶ ἀναστρεφομένου, ἐ

πόντος, ἢ οὐ δοκεῖ αὐτῷ ὁ σοφὸς ἐρασθήσεσθαι, ἔφη. οὐδὲν, ἂν οὕτω καλὸς ᾖ τίς, ὥσπερ σύ. οὐδ' ἂμ οὕτω καλὰ ἱμάτια ἔχῃ. ὁ αὐτὸς, ὡς ἀπολλόδωρός φησι, στωμύλου τινὸς ἀγεννοῦς, πράγματα αὐτῷ παρέχοντος, ἔφη. ἀκόλαστα ὁμιλεῖν γίνεται δούλων τέκνα.

ὁ αὐτὸς, ὡς ἀπολλόδωρός φησιν, εἰσελθὼν πρὸ πρὸς κατησίβιον νοσοῦντα. καὶ ἰδὼν ἀπορίᾳ θλιβόμενομ, κρύφα βαλάντιομ ὑπέθηκε τῷ προσκεφαλαίῳ. καὶ ὃς ἰδὼν, ἀρκεσιλάου φησὶ τὸ παίγνιον. ἀλλὰ καὶ ἄλλοτε, χιλίας δραχμὰς ἀπέστειλεν. ὁ αὐτὸς πρὸς τὸμ πυθόμενον, διατί ἐκ μὲμ τῶν ἄλλων μεταβαίνουσιν εἰς τὸ ἐπικούρειον, ἐκ δὲ τῶμ ἐπικουρείων οὐδέποτε, ἔφη. ἐκ μὲν γὰρ ἀνδρῶμ, γάλλοι γίνονται. ἐκ δὲ γάλλων, ἄνδρες οὐ γίνονται.

ὁ αὐτὸς, ὥς φησιν ἀπολλόδωρος, ἔλεγεν. ὥσπερ ὅπου φάρμακα πολλὰ, καὶ ἰατροὶ πολλοὶ ἐνταῦθα νόσοι πλεῖσται, οὕτω καὶ ὅπου νόμοι πλεῖστοι, ἐκεῖ εἶναι καὶ ἀδικίαμ μεγίστην.

## ΔΙΟΓΕΝΟΥΣ ΛΑΕΡΤΙΟΥ, ΕΙΣ ΑΡΚΕΣΙΛΑΟΝ, ΕΠΙΓΡΑΜΜΑ.

Ἀρκεσίλαε, τί μοι τί τοσοῦτον ἄκρητον, ἀφειδῶς
ἔσπασας ὥστε φρενῶν ἐκτὸς ὀλέσθαι ἑῶν.
οἰκτείρω οὐ τόσον ἐπεὶ θάνες, ἀλλ' ὅτι μούσας
ὕβρισας. οὐ μετρίῃ χρησάμενος κύλικι.

## ΑΡΤΑΒΑΖΟΣ.

Ἀρτάβαζος, ἔχων τοὺς τῶν φευγόντων περσῶν εἰς τετρακισμυρίους, καὶ διὰ φωκίδος εἰς μακεδονίαν πορευθεὶς, ὀξυτάταις πορείαις ἐχρῆτο. καὶ ἐσώθη μετὰ τῶν στρατιωτῶν εἰς τὴν ἀσίαν. οἱ δ' ἕλληνες ἐκ τῶμ λαφύρων δέκατον ἐξελόμενοι, κατεσκεύασαν χρυσοῦν τρίποδα, καὶ ἀνέθηκαν εἰς δελφούς, ἐπιγράψαντες ἐλεγεῖον τόδε.

Ἑλλάδος εὐρυχόρου σωτῆρες τόνδ' ἀνέθηκαν.
δουλοσύνας στυγερᾶς ῥυσάμενοι πόλιας.

ἐπέγραψαν δὲ καὶ τοῖς ἐν θερμοπύλαις θανοῦσι λακεδαιμονίοις, κοινῇ μὲν πᾶσι τόδε.

Ὦ ξεῖν' ἄγγελον λακεδαιμονίοις, ὅτι τῇδε κείμεθα.

τοῖς κείνων πειθόμενοι νομίμοις.

ΑΡΤΩΡΙΟΣ.

Ἀρτώριός τις ἐν τῷ περὶ μακροβιωτίας, ἐφ᾽ ὅσον βρέξαι τὰ σιτία μόνον οἴεται δεῖν προσάγειν ποτόν· ἵνα μακροτέραν κτησώμεθα τὴν ζωήν.

ΑΡΧΙΔΑΜΟΥ.

Ἀρχίδαμος ὁ ἀγησιλάου ἰδὼν βέλος τότε πρῶτον ἐκ σικελίας κομισθὲν, ἀνεβόησεν. ὦ ἡράκλεις, ἀπόλωλεν ἀνδρὸς ἀρετά. Ἀνὴρ εἰς λακεδαίμονα ἀφίκετο χῖος γέρων ἤδη ὤν, τὰ μὲν ἄλλα ἀλαζών. ᾐδεῖτο δὲ ἐπὶ τὸ γῆρας, καὶ τὴν θρίχα πολιὰν οὖσαν, ἐπειρᾶτο βαφῇ ἀφανίζειν. παρελθὼν οὖν, εἶπεν ἐκεῖνα ὑπὲρ ὧν καὶ ἀφίκετο. ἀναστὰς οὖν ὁ ἀρχίδαμος, τί ἂν ἔφη οὗτος ὑγιὲς εἴποι, ὃς οὐ μόνον ἐπὶ τῇ ψυχῇ τὸ ψεῦδος, ἀλλὰ καὶ ἐπὶ τῇ κεφαλῇ περιφέρει.

ΑΡΧΥΤΟΥ.

Ἀρχύτας μνησαγόρου ταραντῖνος, φιλόσοφος ἅμα καὶ μηχανικὸς ὤν, ἐποίησε περιστερὰν ξυλίνην πετομένην, ἥτις εἴ ποτε καθίσειεν, οὐκέτι ἀνίστατο. μέχρι γὰρ τούτου.

ὁ αὐτὸς ἀναγνοὺς τὸν ἐρατοσθένους ἑρμῆν, τοῦτον ἐπήνεσε τὸν στίχον.

χρειὼ πάντ' ἐδίδαξε. τί δ' οὐ χρειώ κεν ἀνεύροι.

ΒΙΑΝΤΟΣ.

βίας ὁ τευταμίδου πριηνεὺς, εἶπε. μακάριός ἐστιν ὁ πλουτῶν, καὶ ὧν ἐπιθυμεῖ ἀπολαύων. ὁ δὲ μὴ ἐπιθυμῶν, μακαριώτερος. ὁ αὐτὸς εἶπε, δεῖ τὸν ἀγαθὸν ἄνδρα μεμνῆσθαι μὲν τῶν γεγενημένων. πράττειν δὲ τὰ ἐνεστῶτα. περὶ δὲ τῶν μελλόντων, ἀσφαλίζεσθαι.

ὁ αὐτὸς ἐρωτηθεὶς τίς ἄριστος σύμβουλος, ἔφη ὁ καιρός. ὁ αὐτὸς ἔλεγε ψυχῆς μέγας χαλινός ἐστιν ὁ νοῦς. ὁ αὐτὸς εἶπε κρατίστην εἶναι δημοκρατίαν ἐν ᾗ πάντες ὡς τύραννον φοβοῦνται τὸν νόμον. ὁ αὐτὸς εἶπεν, οἱ ἀγαθοὶ εὐαπάτητοι. ὁ αὐτὸς θανάτῳ τινὰ καταδικάζων, ἐδάκρυσεν. ἐρομένου δέ τινος, τί παθὼν αὐτὸς καταδικάζων κλαίεις, εἶπεν. ὅτι ἀναγκαῖόν ἐστι τῇ μὲν φύσει, τὸ συμπαθὲς ἀποδοῦναι. τῷ δὲ νόμῳ, τὴν ψῆφον.

ὁ αὐτὸς

ὁ αὐτὸς συμπλέων ποτὲ ἀσεβέσι, χειμαζομένης τῆς
νηὸς, κἀκείνων θεοὺς ἐπικαλουμένων. σιγᾶτε ἔ-
φη, μὴ αἴσθωνται ὑμᾶς ἐνθάδε πλέοντας. ὁ αὐ-
τὸς τοὺς αἰτουμένους παρὰ τῶν θεῶν φρένας ἀγα-
θὰς, καὶ μὴ ἑαυτοὺς παιδεύοντας, ἀνοήτους ἔφα-
σκεν εἶναι. οὔτε γὰρ ζωγράφον εὐχόμενον εἶναι τοῖς
θεοῖς δοῦναι αὐτῷ γραμμὴν, καὶ εὐχέρειαν λαβεῖν, ἂν
μὴ μάθῃ τὴν τέχνην, οὔτε μουσικὸν γενέσθαι ποτ'
ἂν ἕνεκεν εὐχῆς, εἰ μὴ τὰ μουσικὰ μάθοι. τὸν δὲ
αὐτὸν τρόπον, οὐδ' ἂν φρόνιμόν τινα γενέσθαι εὐχό-
μενον, εἰ μὴ τούτων τὴν μάθησιν λάβοι. ὁ αὐτὸς ἀ-
τυχῆ εἶναι ἔφη, τὸν ἀτυχίαν μὴ φέροντα. ὁ αὐτὸς
ἐρωτηθεὶς τί δυσχερὲς, τὴν ἐπὶ τὸ χεῖρον ἔφη μετα-
βολὴν εὐγενῶς ὑπενεγκεῖν. ὁ αὐτὸς ἐρωτηθεὶς, τί
ἂν εἴη τῶν κατὰ βίον ἄφοβον, εἶπεν ὀρθὴ συνείδησις.
ὁ αὐτὸς ἐπικαλουμένου τινὸς τὸν θάνατον ἐπὶ τέ-
κνων ἀπωλείᾳ, ἔφη. τί αὐτὸν καλεῖς ἄνθρωπε. ὃς
κἂν μὴ καλέσῃς ἥξει. ὁ αὐτὸς ἐρωτηθεὶς ποῖος
τῶν θανάτων κακὸς, ἔφη. ὁ ἀπὸ τῶν νόμων ἐπαγόμενος.
ὁ αὐτὸς, δίκην ὑπέρ τινος λέξας ἤδη ὑπέργηρως

ὤν, μετὰ τὸ καταπαῦσαι τὸν λόγον, ἀπέκλινε τὴν κεφαλὴν εἰς τοὺς τῆς θυγατρὸς υἱοῦ κόλπους. εἰπόντος δὲ καὶ τοῦ ἐναντίου, καὶ τῶν δικαστῶν τὴν ψῆφον ἐμεγκόντων τῷ ὑπὸ τοῦ βίαντος βοηθουμένῳ, λυθέντος τοῦ δικαστηρίου, νεκρὸς ἐν τοῖς κόλποις εὑρέθη. καὶ αὐτὸν μεγαλοπρεπῶς ἔθαψεν ἡ πόλις. εἰς ὃν καὶ διογένους λαερτίου, τόδε τὸ ἐπίγραμμα φέρεται.

Τῆδε βίαντα κεκεύθατομ. ἀγέμας ἤγαγεμ ἑρμῆς
εἰς ἀίδημ. πολιῷ γήραϊ νιφόμενομ.
εἶπε γὰρ εἶπε δίκην ἑτέρου τινός. ἀτὰρ ἀποκλινθεὶς
παιδὸς ἐς ἀγκαλίδας, μακρὸν ἔτεινεμ ὕπνον.

ἝΤΕΡΟΝ, ΕΙΣ ΤΟΝ ΑΥΤΟΝ.

κλεινοῖς ἐν δαπέδοισι πριήνης φύμα καλύπτει.
ἥδε βίαντα πέρας, κόσμομ ἴωσι μέγαμ.

Βίας ἐνεδρευθεὶς ὑπὸ ἰφικράτους τοῦ ἀθημαίων στρατηγοῦ. καὶ ἐρωτώμεμος ὑπὸ τῶν στρατιωτῶν τί δεῖ ποιεῖμ, τί ἄλλο ἔφη, ἢ ὑμᾶς μὲμ σώζεσθαι. ἐμὲ δὲ μαχόμενομ ἀποθανεῖμ.

ΒΙΩΝΟΣ.

Βίωμ ὁ βορυσθενίτης ἔλεγε, καταγελάστους εἶναι τοὺς

σπουδάζοντας περὶ τὸμ πλοῦτομ. ὃν τύχη μὲν παρέχει. ἀμελευθερία δὲ φυλάττει. χρηστότης δὲ ἀφαιρεῖται. ὁ αὐτὸς πρὸς τὸμ θέογνιμ λέγοντα.

πᾶς γὰρ ἀνὴρ πενίῃ δεδμημένος, οὔτε τι εἰπεῖν,
οὔθ' ἔρξαι δύναται. γλῶσσα δέ οἱ δέδεται,

πῶς σὺ πένης ὢμ ἔφη φλυαρεῖς τοσαῦτα. καὶ καταδολεσχεῖς ἡμῶμ. ὁ αὐτὸς ἔλεγεν ὥσπερ τὰ φαῦλα τῶν βαλαμτίων, κἂν μηδενὸς ᾖ ἄξια. τοσοῦτον εἰσὶμ ἄξια, ὅσον ἐμ ἑαυτοῖς τὸ μόμισμα ἔχουσιμ, οὕτω καὶ τῶμ πλουσίων τοὺς οὐδενὸς ἀξίους, καρποῦσθαι τὰς ἀξίας ὧμ κέκτηνται. ὁ αὐτὸς ἔφη, τὰ χρήματα τοῖς πολλοῖς ἡ τύχη οὐ δεδώρηται. ἀλλὰ δεδάνεικεν. ὁ αὐτὸς ἔλεγεμ. ἡ τύχη ὥσπερ ποιήτρια, ὁ τὲ μὲν, πρωτολόγου. ὁ τὲ δὲ ὑστερολόγου περιτίθησι πρόσωπομ. καὶ ὁ τὲ μὲμ βασιλέως. ὁ τὲ δὲ, ἀλήτου. ὁ αὐτὸς ἰδὼμ τινὰ φθομερὸν σφόδρα κεκυφότα, εἶπεμ. ἢ τούτῳ μέγα κακὸμ συμβέβηκεν, ἢ ἄλλῳ μέγα ἀγαθόν. ὁ αὐτὸς ἔλεγε, δεῖ τὸν ἄρχοντα παυόμενον τῆς ἀρχῆς, μὴ πλουσιώτερον, ἀλλ' ἐνδοξότερον γεγονέναι.

## ἘΚ ΤΩ͂Ν ΒΊΩΝΟΣ ΒΟΥΚΟΛΙΚΩ͂Ν.

ταὶ μοῖσαι τὸμ ἔρωτα τὸν ἄγριον ἢ φοβέονται,
ἠ᾽κ θυμῶ φιλέοντι. καὶ ἐκ ποδὸς αὐτῷ ἕπονται.
κἢν μὲν ἄρα ψυχάμ τις ἔχων ἀνέραστομ, ἀείδῃ
τῆνον ὑπεκφεύγοντι, καὶ οὐκ ἐθέλοντι διδάσκειν.
ἢν δὲ νόον τῷ ἔρωτι δονεύμενος ἁδὺ μελίσδοι,
ἐς τῆνον μάλα πᾶσαι ἐπειγόμεναι προρέοντι.
μάρτυς ἐγών, ὅτι μῦθος ὅδ᾽ ἔπλετο πᾶσιν ἀληθής.
ἢν μὲν γὰρ βροτὸν ἄλλομ, ἢ ἀθανάτων τινὰ μέλπω,
καμβαίνει μευ γλῶσσα, καὶ ὡς πάρος οὐκέτ᾽ ἀείδει.
ἢν δ᾽ αὖτ᾽ ἐς τὸν ἔρωτα, καὶ ἐς λυκίδαν τι μελίσδω,
καὶ τόκα μοι χαίροισα κατὰ στόματος ῥεῖ ᾠδά.

### ΤΟΥ͂ ἈΥΤΟΥ͂.

ἃ μεγάλα μοι κύπρις ἔθ᾽ ὑπνώοντι παρέστα.
νηπίαχον τὸν ἔρωτα καλᾶς ἐκ χειρὸς ἄγοισα,
ἐς χθόνα νευστάζοντα. τόσον δέ μοι ἔφρασε μῦθον.
μέλπειν μοι φίλε βοῦτα λαβὼν τὸν ἔρωτα δίδασκε.
ὣς λέγε, χἀ μὲν ἃ πήλυθεμ. ἐγὼ δ᾽ ὅσα βουκολίασδον,
νήπιος, ὡς ἐθέλοντα μαθεῖν τὸν ἔρωτα, δίδασκομ.
ὡς εὗρε πλαγίαυλομ ὁ πᾶν. ὡς αὐλὸν ἀθάνα.

ὡς χέλυν ἑρμάων. κίθαριν, ὡς ἁδὺς ἀπόλλων.
ταῦτά μιν ἐξεδίδασκον. ὁ δ᾽ οὐκ ἐμπάζετο μύθων.
ἀλλά μοι αὐτὸς ἄειδεν ἐρωτύλα. καί μ᾽ ἐδίδασκε,
θνατῶν ἀθανάτων τε πόθως. καὶ ματέρος ἔργα.
κἀγὼ ἐκλαθόμην μὲν ὅσων τὸν ἔρωτα ἐδίδασκον.
ὅσσα δ᾽ ἔρως μ᾽ ἐδίδαξεν ἐρωτύλα, πάντα ἐδιδά(χθην.

ΤΟΥ̃ ΑΥ̓ΤΟΥ̃.

Ἕσπερε τᾶς ἐρατᾶς χρύσεον φάος ἀφρογενείας.
Ἕσπερε κυανέας ἱερὲ φίλε νυκτὸς ἄγαλμα.
τόσσον ἀφαυρότερον μήνας, ὅσον ἔξοχος ἄστρων.
χαῖρε φίλος. καί μοι παρὰ τὸ ποιμένα κῶμον ἄγοντι
ἀντὶ σελαναίας, τὺ δίδου φάος. ὥνεκα τήνα,
σάμερον ἀρχομένα τάχιον δύεν. οὐκ ἐπὶ φωρὰν
ἔρχομαι. οὐδ᾽ ἵνα νυκτὸς ὁδοιπορέοντα ἐνοχλέω.
ἀλλ᾽ ἐράω. καλὸν δέ τ᾽ ἐρασσαμένῳ συνεράσθαι.

ΤΟΥ̃ ΑΥ̓ΤΟΥ̃.

Ἰξευτὰς ἔτι κῶρος ἐν ἄλσεϊ δενδράεντι,
ὄρνεα θηρεύων, τὸν ἀπόροπον εἶδεν ἔρωτα
ἑσδόμενον πύξοιο ποτὶ κλόνον. ὡς δ᾽ ἐνόασε,
χαίρων ὥνεκα δὴ μέγα φαίνετο ὄρνεον αὐτῷ,

τὼς καλάμως ἅμα πάντας ἐπ' ἀλλάλοισι συνάπτων,
τᾷ καὶ τᾷ τὸν ἔρωτα μετάλμενον ἀμφεδόκευε.
χὼ παῖς ἀσχαλέων οὕνεκά οἱ τέλος οὐδὲν ἀπήντα,
τὼς καλάμως ῥίψας, ποτ' ἀροτρέα πρέσβυν ἵκανεν.
ὅς νιν τὰν δὲ τέχναν ἐδιδάξατο, καὶ λέγεν αὐτῷ.
καί οἱ δεῖξεν ἔρωτα καθήμενον. αὐτὰρ ὁ πρέσβυς
μειδιάων κίνησε κάρη, καὶ ἀμείβετο παῖδα.
φείδεο τὰν θήραν. μηδ' ἐς τόδε τὤρνεον ἔρχευ.
φεῦγε μακράν. κακὸν ἐντὶ τὸ θηρίον. ὄλβιος ἔσσῃ,
εἰσόκα μή μιν ἕλῃς. ἢν δ' ἀνέρος ἐς μέτρον ἔλθῃς,
οὗτος ὁ νῦν φεύγων καὶ ἐπάλμενος, αὐτὸς ἀφ' αὑτῶ
ἐλθὼν ἐξαπίνας, κεφαλὰν ἐπὶ σεῖο καθιξεῖ.

Βοιωτός. ἐν τυχὼν θησαυρῷ μετὰ ἑβδομήκοντα ἔτη, ἐπάρας τὸ σκέλος ἀπεματαΐσε καὶ παρῆλθεν. ὡς οὐκέτι οὐδὲν ὄντα πρὸς αὐτόν.

Βοιωτῶν ἔνιοι τοὺς χρέος οὐκ ἀποδιδόντας. εἰς ἀγορὰν ἄγοντες. καθῆσαι κελεύουσιν. εἶτα κόφινον ἐπιβάλλουσιν αὐτῷ. ὃς δ' ἂν κοφινωθῇ, ἄτιμος γίνεται. δοκεῖ δὲ τοῦτο, καὶ ὁ εὐριπίδου πατὴρ πεπονθέναι, βοιωτὸς ὢν τὸ γένος.

βρασίδας ἐν μάχῃ διὰ τῆς ἀσπίδος ἀκοντισθεὶς, καὶ τὸ δόρυ τοῦ τραύματος ἑλκύσας, αὐτῷ τούτῳ τὸν πολέμιον ἀπέκτεινεν. ἐπερωτηθεὶς δὲ πῶς ἐτρώθη, προδούσης με τῆς ἀσπίδος εἶπεν. ὁ αὐτὸς ἐν ἰσχάσι συλλαβὼν μῦν, καὶ δηχθεὶς ἀφῆκεν. εἶτα πρὸς τοὺς παρόντας, οὐδὲν οὕτως ἔφη σμικρόν ἐστιν ὃ μὴ σώζεται τολμῶν ἀμύνεσθαι τοὺς ἐπιχειροῦντας. ἐπεὶ δὲ συνέβη πεσεῖν αὐτὸν ἐλευθεροῦντα τοὺς ἐπὶ θράκης ἕλληνας, οἱ δὲ πεμφθέντες εἰς λακεδαίμονα πρέσβεις τῇ μητρὶ προσῆλθον αὐτοῦ ἀρχιλεωνίδῃ, πρῶτον μὲν ἠρώτησεν εἰ καλῶς ὁ βρασίδας ἀπέθανεν. ἐγκωμιαζόντων δὲ τῶν θρακῶν αὐτὸν, καὶ λεγόντων ὡς οὐδεὶς ἄλλος ἐστὶ τοιοῦτος, ἀγνοεῖτε εἶπεν ὦ ξένοι. βρασίδας μὲν γὰρ ἦν ἀνὴρ ἀγαθός. ἁ δὲ λακεδαίμων πολλῶς ἔχει τήνου κάρρονας. βρέννος ὁ τῶν γαλατῶν βασιλεὺς, λεηλατῶν τὴν ἀσίαν, εἰς ἔφεσον ἦλθε, καὶ στρατοπεδευσάμενος, περιέμενε τοῦ πολέμου τὴν προθεσμίαν. παρθένος δέ τις τῶν ἐπισήμων ὄνομα δημονίκη, εἰς ἐπιθυμίαν ἐμπεσοῦσα τοῦ βαρβάρου, προδώσειν αὐτῷ τὴν ἔφεσον

ὑπέσχετο, ἐὰμ μισθὸν λάβῃ τὰ ψέλλια καὶ τοὺς ὅρμους. ὁ δὲ βρέννος δεξάμενος αὐτὴμ εἰς τόπον ὡρισμένομ ἤγαγε τοὺς ὑποτεταγμένους. καὶ προσέταξεμ αὐτοῖς, τὸν χρυσὸν ὅσομ εἶχομ, κόσμου χάριν βάλλειμ εἰς τὸν τῆς φιλαργύρου κόλπομ. ποιησάντωμ δὲ αὐτῶν τὸ παραγγελθὲμ, ἡ δημονίκη ὑπὸ τῆς δαψιλείας τοῦ βαλλομένου χρυσίου, ζῶσα κατεχώσθη.

ΒΕΡΟΝΊΚΗΣ, ΓΛΌΜΑΚΟΣ.

βερονίκη, γυνή τις ἦμ τοῦ ἐν ἀλεξανδρείᾳ πτολεμαίου τοῦ εὐεργέτου καλουμένου. τοῦ οὖν ἀνδρὸς αὐτῆς πτολεμαίου ὄντος ἐν πολέμοις, ηὔξατο ὅτι εἰ ὑποστρέψει ἄτρωτος, τῶν πλοκάμων τῶν ἑαυτῆς ἀπόκαρμα, ἀμαθήσει ἀνάθημα ἐμ τῷ ἱερῷ. καὶ ἀνέθηκεν ἡ βερονίκη. κόνων οὖν τις ἀστρονόμος ἦμ ἐπὶ τῶμ αὐτῆς χρόνωμ. καὶ πρὸς κολακείαν αὐτῆς φησὶν, ὅτι οἱ θεοὶ τὸμ πλόκαμομ τοῦτομ ἐν ἄστροις ἀνέθηκαμ. καὶ νῦν ἐστὶ τις βοτρυοειδῶς θέσις ἀστέρων ἐν τῷ οὐρανῷ. ὃ καλοῦσι πλόκαμον βερονίκης.

## ΓΑΪΟΥ.

γάϊος εἶπε, φυλάττομαι δέ τι πικρότερον εἰπεῖν διὰ τὸ τῆς μητρυιᾶς ὄνομα. πολλὰ γὰρ προείληπται τῶμ ὀνομάτων εἰς πίστιν ἀπεχθείας. καὶ μητρυιὰ δυσκόλως ἀληθεύειν πιστεύεται. δεῖ δὲ οὐ ταῖς φήμαις τῶν ὀνομάτων ἐξελέγχεσθαι τοὺς τρόπους. πολλοὶ γὰρ ἤδη διαβεβλημένας προσηγορίας ἔχοντες, ἔσχομ οὐ πονηρὰμ διάνοιαμ. πάλιμ ἕτεροι καὶ καλοῖς ὀνόμασιμ ἐκ τῆς φύσεως κεκοσμημένοι, τύχαις ἀνομοίαις, προσέρχονται περὶ τὰ ἔργα.

## ΓΕΛΩΝΟΣ.

γέλων ὁ τύραννος ὅτε καρχηδονίους πρὸς ἱμέραμ κατεπολέμησεν. εἰρήνην ποιούμενος πρὸς αὐτοὺς, ἠνάγκασεν ἐγγράψαι ταῖς ὁμολογίαις, ὅτι καὶ τὰ τέκνα παύσονται τῷ κρόνῳ καταθύομτες. ὁ αὐτὸς ἐξῆγε πολλάκις τοὺς συρακουσίους ὡς ἐπὶ στρατείαμ, καὶ φυτείαν, ὅπως ἥ τε χώρα βελτίωμ γένηται γεωργουμένη. καὶ μὴ χείρονες αὐτοὶ σχολάζοντες.

ὁ αὐτὸς αἰτῶν χρήματα τοὺς πολίτας, ἐπεὶ ἐθορυβήθησαν, αἰτεῖν εἶπεν ὡς ἀποδώσων· καὶ ἀπέδωκε μετὰ τὸν πόλεμον. ὁ αὐτὸς ἐν συμποσίῳ λύρας περιφερομένης, ἁρμοζομένων τῶν ἄλλων ἐφεξῆς καὶ ᾀδόντων, αὐτὸς τὸν ἵππον εἰσαγαγεῖν κελεύσας, ἐλαφρῶς καὶ ῥᾳδίως ἀνεπήδησεν ἐπ' αὐτόν.

ΓΕΛΟΥ.

γέλλιν, τὸ μὲν εἶδος φησὶν ὁ σικελιώτης διόδωρος, εὐτελῆ παντελῶς. τὸ δὲ ἦθος, θαυμαστόν. ἀποσταλέντος τοίνυν αὐτοῦ πρὸς κεντοριπίνους κατὰ πρεσβείαν, ἰδόντες οὗτοι αὐτὸν καταδεέστερον τῆς περὶ αὐτοῦ δόξης καὶ φήμης, ἐγέλασαν. ὁ δὲ ὑπολαβὼν, εἶπε μὴ θαυμάζειν. ἐν ἔθει γὰρ ἦν τοῖς ἀκραγαντίνοις πρὸς τὰς ἐπιδόξους πόλεις, ἀποστέλλειν τοὺς τῷ κάλλει διαπρεπεῖς. πρὸς δὲ τὰς ταπεινὰς καὶ λίαν εὐτελεῖς, ὁμοίους.

ΓΛΑΥΚΟΥ.

γλαύκου τοῦ ἐπικυδέως παιδὸς, ἐπερωτῶντος τὴν πυθίαν εἰ ὅρκῳ τὰ χρήματα λῄσεται, ἃ εἰς παρακαταθήκην ἔλαβε παρὰ μιλησίου ἀν

δρός, ἡ πυθία τάδε φησί.

γλαῦκ᾽ ἐπικυδείδη τὸ μὲν αὐτίκα κέρδιον οὕτω.
ὅρκῳ νικῆσαι, καὶ χρήματα ληΐσσασθαι.
ὄμνυ᾽ ἐπεὶ θάνατός γε καὶ εὔορκον μένει ἄνδρα.
ἀλλ᾽ ὅρκου παῖς ἐστὶν ἀνώνυμος. οὐδ᾽ ἔπι χεῖρες
οὐδὲ πόδες. κραιπνῶς δὲ μετέρχεται εἰσόκε πᾶ
συμμάρψας ὀλέσῃ γενεὴν, καὶ οἶκον ἅπαντα. (σαν
ἀνδρὸς δ᾽ εὐόρκου γενεὴ κατόπισθεν ἀμείνων.

γλαῦκος ὁ νηρέως ὑποφήτης. οὗτος ἀνθηδόνιος. ἑωρακὼς ἰχθὺν παρὰ τὴν ψάμμον βοτάνης γευσάμενον, καὶ ἀναζήσαντα, φαγὼν καὶ αὐτὸς, γέγονεν ἀθάνατος ἀλλ᾽ οὐκ ἀγήρως. ἐφ᾽ ᾧ κατεπόντισεν ἑαυτόν. γλαύκου τέχνη. ἐπὶ τῶν μὴ ῥᾳδίως κατεργαζομένων, ἢ ἐπὶ τῶν πάνυ ἐπιμελῶς καὶ ἐντέχνως εἰργασμένων. ἐπειδὴ οὗτος εὗρε σιδήρου κόλλησιν, χῖος ὤν.

γλαῦκος ἄλλος ἱππόβρωτος. φασὶν ὅτι οὗτος κατεβρώθη ὑπὸ τῶν ἵππων. ἀγνοοῦντες ὅτι ἱπποτροφῶν, καὶ τῶν οἰκείων οὐδενὸς ἐπιμελούμενος, ἐπετρίβη. καὶ ἐπέλιπεν αὐτὸν ὁ βίος.

γλαῦκος πιὼν μέλι ἀνέστη. ἐπὶ τῶν κηρυχθέντων ὅτι ἀπέθανον. εἶτα φανερουμένων.

γλαύκου ἀποθανόντος, οὐ τοῦ σισύφου ἐπὶ τῷ μέλιτι, ὁ μίνως ἐν τῷ τύμβῳ κατώρυξε τὸν τοῦ κοιράνου πολύειδον, ὃς ἦν ἐκ τοῦ ἄργους. ὃς ἰδὼν δράκοντα πόαν ἐπιτιθέντα τεθνεῶτι. καὶ ἀναστήσαντα αὐτὸν, καὶ οὗτος τὸ αὐτὸ ποιήσας εἰς τὸν γλαῦκον, ἀνέστησε. τοῦτο δὲ ἀδύνατον. ἐγένετο δὲ τοιόνδε τι. γλαῦκος πιὼν μέλι, ἐταράχθη. χολῆς δὲ πλείονος αὐτῷ κινηθείσης, ἐλειποθύμησεν ὁ γλαῦκος. ἀφίκοντο οὖν οἵ τε ἄλλοι ἰατροὶ ἅτε δὴ χρήματα ληψόμενοι. ἀλλὰ δὴ καὶ πολύειδος. ὃς ἰδὼν τὴν πόαν ἣν ἔμαθε παρά τινος ἰατροῦ ᾧ ὄνομα ἦν δράκων, καὶ ταύτῃ τῇ βοτάνῃ χρησάμενος, ὑγιᾶ ἐποίησε τὸν γλαῦκον. ἔλεγον οὖν τινὲς, ὅτι πολύειδος τὸν γλαῦκον ὑπὸ μέλιτος θανόντα, ἀνέστησεν. ἀφ' οὗ τὸν μῦθον ἐπλάσαντο.

γλαῦκος φαγὼν πόαν, οἰκεῖ ἐν θαλάττῃ. ὁμοία τῇ προτέρᾳ.

ᾌδεται ὅτι

Γλαῦκος ὁ θαλάττιος φαγὼν πόαν, ἀθάνατος
ἐγένετο. καὶ νῦν ἐν θαλάττῃ οἰκεῖ. τὸ δὲ τῇ
πόᾳ ταύτῃ μόνον Γλαῦκον ἐντυχεῖν, καὶ λί
αν ἔμιγε εὔηθες. ὥστε ἄνθρωπον ἐν θαλάσσῃ.
ἢ ἄλλο τι ζῆν τῶν χερσαίων. ἔχει δὲ τὸ ἀλη
θὲς οὕτω. Γλαῦκος ἦν ἀνὴρ ἁλιεὺς ἀνθηδό
νιος. ἦν δὲ κολυμβητής. ἐν τούτῳ ὑπερφέ
ρων πάντων κολυμβητῶν. κολυμβῶντα δὲ
ἐν τῷ λιμένι, ὁρώντων αὐτὸν τῶν πολιτῶν,
αὐτὸς διακολυμβήσας εἴς τινα τόπον, καὶ
μὴ ὀφθεὶς τοῖς οἰκείοις ἡμέρας ἱκανάς, δια
κολυμβήσας πάλιν, ὤφθη αὐτοῖς. πυνθανο
μένων δὲ τῶν οἰκείων ποῦ διέτριβεν, αὐτὸς
ψευδόμενος ἔφη, ἐν τῇ θαλάττῃ. καὶ συγκλεί
ων εἰς αὐτὸν ἰχθύας ὁπότε χειμὼν γένοιτο.
καὶ μηδεὶς τῶν ἄλλων ἁλιέων ἰχθῦς δύναιτο
λαμβάνειν, ἔλεγε τοῖς πολίταις, τίνας
βούλοιντο τῶν ἰχθύων ἀποκομισθῆναι αὐτοῖς.
καὶ κομίζων οὓς ἂν ἤθελον, Γλαῦκος θαλάσσιος
ἐκλήθη. καὶ περιτυχὼν θηρίῳ θαλαττίῳ

ἀπώλετο. μὴ ἐλθόντος δὲ αὐτοῦ ἐκ τῆς θαλάττης, ἐμύθευσαν οἱ ἄνθρωποι, ὡς ἐν θαλάσσῃ οἰκοῦ, καὶ κειμένου.

### ΓΛΎΚΩΝΟΣ.

γλύκων ὁ σοφὸς ἔλεγε τοὺς ῥήτορας ὁμοίους εἶναι τοῖς βατράχοις. τοὺς μὲν γὰρ ἐν ὕδατι κελαδεῖν. τοὺς δὲ, πρὸς κλεψύδραν. ὁ αὐτὸς τὴν παιδείαν ἔλεγεν, ἱερὸν ἄσυλον.

### ΓΟΡΓΊΟΥ.

γοργίας ὁ λεοντῖνος, ἐπὶ τέρμα ὢν τοῦ βίου, ὑπὸ ἀσθενείας καταληφθεὶς, κατ' ὀλίγον εἰς ὕπνον ἀπολισθαίνων, ἔκειτο. εἰς δέ τις αὐτὸν τῶν ἐπιτηδείων ἤρετο τί πράττοι, ὁ γοργίας ἀπεκρίνατο. ἤδη με ὁ ὕπνος ἄρχεται παρακατατίθεσθαι τἀδελφῷ. ὁ αὐτὸς, ἤδη γηραιὸς ὑπάρχων ἐρωτηθεὶς εἰ ἡδέως ἀποθνήσκοι, ἥκιστα εἶπεν. ὥσπερ δὲ ἐκ σαπροῦ καὶ ῥέοντος συνοικίου ἀσμένως ἀπαλλάττομαι. αὐτοῦ πρεσβευτοῦ ἀποσταλέντος πρὸς τοὺς ἀθηναίους, καὶ λαμπρῶς ἐπιδεικνυμένου, οἱ ἀθηναῖοι

τὰς ἡμέρας ἐκείνας, ἐν αἷς ἐπεδείξατο, ἑορ-
τὰς ἐκάλουν. τοὺς δὲ λόγους αὐτοῦ λαμπάδας.
ὁ αὐτὸς ἐρωτηθεὶς, ποίᾳ διαίτῃ χρώμενος εἰς
μακρὸν γῆρας ἦλθεν, οὐδὲν οὐδέποτε ἔφη πρὸς
ἡδονὴν, οὔτε φαγὼν, οὔτε δράσας. οὗτος καὶ
τέχνας ῥητορικὰς πρῶτος ἐξεῦρε. καὶ κατὰ τὴν
σοφιστείαν τοσοῦτον τοὺς ἄλλους ὑπερέβαλ-
λεν, ὡς μισθὸν λαμβάνειν παρὰ τῶν μαθητῶν
μνᾶς ἑκατόν. οὗτος καταντήσας ἀθήνας, ἔτυ-
χε γὰρ παρὰ τῶν λεοντίνων εἰς ἀθήνας πρεσ-
βευτὴς ἀπεσταλμένος, καὶ παραχθεὶς εἰς τὸν δῆ-
μον, διηλέχθη τοῖς ἀθηναίοις περὶ συμμαχίας.
καὶ τῷ ξενίζοντι τῆς λέξεως, ἐξέπληξε τοὺς
ἀθηναίους, ὄντας εὐφυεῖς καὶ φιλολόγους. πρῶτος
γὰρ ἐχρήσατο τῆς λέξεως σχηματισμοῖς
περιττοτέροις, καὶ τῇ φιλοτεχνίᾳ διαφέρουσιν
ἀντιθέτοις, καὶ ἰσοκώλοις, καὶ παρίσοις, καὶ ὁμοιο-
τελεύτοις, καὶ τισιν ἑτέροις τοιούτοις. ἃ τό-
τε μὲν διὰ τὸ ξένον τῆς κατασκευῆς, ἀποδο-
χῆς ἠξιοῦτο. νῦν δὲ, περιεργίαν ἔχειν δοκεῖ.
καὶ φαίνεται καταγέλαστον.

Δημήτριος Φανοστράτου Φαληρεὺς, Πτολεμαίῳ τῷ βασιλεῖ παρῄνει τὰ περὶ βασιλείας καὶ ἡγεμονίας βιβλία κτᾶσθαι, καὶ ἀναγινώσκειν. ἃ γὰρ οἱ φίλοι τοῖς βασιλεῦσιν οὐ θαῤῥοῦσι παραινεῖν, ταῦτα ἐν τοῖς βιβλίοις γέγραπται.

ὁ αὐτὸς, ἀκούσας ὅτι τὰς εἰκόνας αὐτοῦ κατέστρεψαν ἀθηναῖοι, ἀλλ' οὐ τὴν ἀρετὴν ἔφη δι' ἣν ἐκείνας ἀνέστησαν. ὁ αὐτὸς ἔλεγε, τὰς ὀφρῦς μὴ μικρὸν εἶναι μέρος. ὅλῳ γὰρ ἐπισκοτῆσαι δύνασθαι τῷ βίῳ. ὁ αὐτὸς, οὐ μόνον τὸν πλοῦτον ἔφη τυφλὸν. ἀλλὰ καὶ τὴν ὁδηγοῦσαν τύχην. ὁ αὐτὸς ἔφη. ὅσον ἐν πολέμῳ δύνασθαι σίδηρον, τοσοῦτον ἐν πολιτείαις ἰσχύειν δῶρον. ὁ αὐτὸς ἰδὼν πολὺ νεανίσκον ἄσωτον. ἰδοὺ ἔφη τετράγωνος ἑρμῆς. ἔχων σύρμα. κοιλίαν. αἰδοῖον. πώγωνα.

ὁ αὐτὸς ἔφη τοὺς φίλους, ἐπὶ μὲν τὰ ἀγαθὰ παρακαλουμένους ἀπιέναι. ἐπὶ δὲ τὰς συμφορὰς, αὐτομάτους. ὁ αὐτὸς, τῶν τετυ-

φωμένων

φωμένων ἀνδρῶν ἔφη τὸ μὲν ὕψος δεῖν περιαιρεῖν. τὸ δὲ φρόνημα καταλιπεῖν. ὁ αὐτὸς εἶπε τοὺς ἀστείους τῶν νέων, ἐν μὲν ταῖς οἰκίαις, τοὺς γονεῖς δεῖ αἰδεῖσθαι. ἐν δὲ τῇ ὁδῷ, τοὺς ἀπαντῶντας. ἐν δὲ ταῖς ἐρημίαις, ἑαυτούς. ὁ αὐτὸς, τὸν μὴ δυνάμενον γενναίως φέρειν ἀτυχίαν, μὴ δὲ εὐτυχίαν ἔφη δύνασθαι.

ΔΗΜΟΣΘΕΝΟΥΣ.

Δημοσθένης ὁ ῥήτωρ ἔφη, πόλεως εἶναι ψυχὴν τοὺς νόμους. ὥσπερ γὰρ σῶμα στερηθὲν ψυχῆς πίπτει, οὕτω ἡ πόλις, μὴ ὄντων νόμων καταλύεται. ὁ αὐτος ἔφη. δεῖ τοὺς νοῦν ἔχοντας τῶν δυναστευόντων, μὴ διὰ τὰς ἀρχὰς, ἀλλὰ διὰ τὰς ἀρετὰς θαυμάζεσθαι. ἵνα τῆς τύχης μεταπεσούσης, τῶν αὐτῶν ἐγκωμίων ἀξιῶνται. ὁ αὐτὸς εἶπε. πάντων ἐστὶ δυσχερέστατον, τὸ πολλοῖς ἀρέσκειν. ὁ αὐτὸς ἐν συμποσίῳ πρὸς τὸν λαλοῦντα πολλὰ, εἰ τοσαῦτα ἔφη ἐφρόνεις, οὐκ ἂν τοσαῦτα ἐλάλεις.

ὁ αὐτὸς ἐρωτηθεὶς, διατί μίαν γλῶσσαν ἔχομεν. ὦτα δὲ δύο, εἶπεν. ὅτι διπλάσιον δεῖ ἀκούειν τοῦ λέγειν. ὁ αὐτὸς ἐρωτηθεὶς, τί ἄνθρωπος ἔχει ὅμοιον θεῷ, ἔφη. τὸ εὐεργετεῖν, καὶ ἀληθεύειν. ὁ αὐτὸς, λοιδορουμένου τινὸς αὐτοῦ, οὐ συγκαταβαίνων εἶπεν εἰς ἀγῶνα, ἐν ᾧ ὁ ἡττώμενος τοῦ νικῶντός ἐστι κρείττων. ὁ αὐτὸς ἔφη τὸν κόλακα, τοῦτο διαφέρειν τοῦ κόρακος. ὅτι ὁ μὲν ζῶντας, ὁ δὲ νεκροὺς ἐσθίει. ὁ αὐτὸς θεασάμενος τινὰ ἐκφερόμενον φιλάργυρον, ἔφη. οὗτος βίον ἀβίωτον βιώσας, ἑτέροις βίον κατέλιπεν. ὁ αὐτὸς ἐρωτηθεὶς τί ἐστι ῥητορική, εἶπεν ὑπόκρισις. δυσχεραίνων ὅτι διὰ ταύτην τῶν χειρόνων ἥττων ἐφαίνετο. ἦν γὰρ φαῦλος τὴν γλῶτταν ἐκ φύσεως. τὸ δὲ πνεῦμα ἀτονώτερος. ἐξ ὧν ἀμφοτέρων συνέβαινε φαυλοτάτην αὐτοῦ τὴν ὑπόκρισιν παρεχόμενον. ὁ αὐτὸς θεασάμενός τινα δημαγωγὸν ἀφυῆ μέγα βοῶντα, ἔφη. ἀλλ᾽ οὐ τὸ μέγα εὖ ἐστί. τὸ δὲ εὖ μέγα. ὁ αὐτὸς εἶπε, βασιλεὺς καὶ τύραννος ἅπας, ἐχθρὸν ἐλευθερίᾳ.

καὶ νόμοις ἐναντίομ. ὁ αὐτὸς, τὴν μὲμ ῥίζαν τῆς
παιδείας ἔλεγεν εἶναι πικράν. τοὺς δὲ καρποὺς
γλυκεῖς. ὁ αὐτὸς, τινὸς αὐτῷ λέγοντος, ὅτι τοῦ ἀ-
γροῦ ἀμελεῖς, ἑαυτῷ δὲ σχολάζεις. τούτου γὰρ ἔ-
φη ἐπιμελοῦμαι, δι᾽ ὃμ τὸν ἀγρὸμ ἐκτησάμημ.
ὁ αὐτὸς ὀνειδιζόμενος ὅτι πονηροῖς συνδιατρίβει,
ἐκεῖνος ἔφη ἄριστός ἐστιν ἰατρὸς, ὃς τοὺς ὑπὸ πάν-
των ἀπεγνωσμένους ἀναλαμβάνει. ὁ αὐτὸς, πρὸς
πυθέα σκώπτοντα αὐτὸν καὶ τοὺς λόγους αὐτοῦ λύ-
χνων ἀπόζειν λέγοντα, ἀστείως ἅμα καὶ πικρῶς,
οἶδα εἶπεμ ὅτι σε λυπῶ λύχνομ καίωμ. διεβέ-
βλητο γὰρ ὁ πυθέας, ὡς λωποδύτης νύκτωρ.
ἐζήλωσε δὲ μάλιστα τῶν πρὸ αὐτοῦ τὸμ συγγρα-
φέα θουκυδίδην. καὶ τὰ πλεῖστα ἐκ τῶμ ἐκείνου
λόγωμ εἰς τὸ πολιτικώτερομ μετέφρασε. καὶ
οὕτω λέγεται αὐτὸν ἐκμεμαθηκέναι, ὥστε φέ-
ρεσθαι τὸ τοιοῦτο περὶ αὐτοῦ. ὅτι ποτὲ καείσης
τῆς βιβλιοθήκης ἐν ἀθήναις, καὶ συγκαεισῶν τῶν ἱ-
στοριῶν θουκυδίδου, αὐτὸν μόνον ἀπομνημονεῦ-
σαι πασῶν. καὶ οὕτω μεταγραφῆμαι ποιῆσαι

μειδίας ἐχθρὸς ὢν αὐτῷ παλαιὸς, κονδύλῳ αὐτὸν ὕβρισεν ἐστεφανωμένον ἐν τῷ θεάτρῳ. καὶ ὁ δῆμος ὀργισθεὶς, κατεχειροτόνησε τοῦ μειδίου. λαβὼν δὲ παρὰ τοῦ μειδίου τρισχιλίας δραχμὰς καθυφείκατο τὴν παρ' αὐτοῦ δίκην. καὶ δημοτέλη δὲ τὸν ἀνεψιὸν γραψάμενος εἰς ἄρειον πάγον τραύματος, ἀργύριον λαβὼν, ἐπέσχεν. ὅθεν καὶ αἰσχίνης ὀνειδίζων αὐτὸν λέγει. ὁ τὴν κεφαλὴν πρόσοδον κεκτημένος. ὅτι ἀπὸ τῆς κεφαλῆς ἐπορίζετο. ἔγημε δὲ τὴν τοῦ χαβρίου γυναῖκα. κτησίππου δὲ θυγατέρα. μετὰ θάνατον τοῦ στρατηγοῦ χαβρίου.

## ΔΗΜΑΔΟΥ.

Δημάδης τοὺς ἀθηναίους εἴκαζεν αὐλοῖς. ὧν εἴ τις ἀφέλοι τὴν γλῶτταν, τὸ λοιπὸν οὐδέν ἐστιν.

ὁ αὐτὸς ἐρωτηθεὶς, τίς αὐτοῦ διδάσκαλος γεγονὼς εἴη, τὸ τῶν ἀθηναίων ἔφη βῆμα. ἐμφαίνων ὅτι ἡ διὰ πραγμάτων ἐμπειρία, κρείττων πάσης σοφιστικῆς διδασκαλίας ἐστίν.

ὁ αὐτὸς εἶπε, τὴν αἰδῶ τοῦ κάλλους ἀκρόπολιν

εἶναι. ὁ αὐτὸς ἐρωτηθεὶς πῶς ἄν τις γένη-
ται πλούσιος, εἶπεν ἐὰν τῶν ἐπιθυμιῶν ᾖς
πένης.

## ΔΗΜΟΚΡΑΤΗΣ.

Δημοκράτης ἀναβαίνων εἰς τὴν ἀκρόπολιν
ἐμ γήρᾳ, καὶ πνευστιῶμ, ποιεῖν ἔφη ὅπερ
καὶ σύμπασα ἀθηναίων πόλις. πνεῖμ μὲν
γὰρ μέγα, ἰσχύειν δὲ μικρόν.

## ΔΗΜΩΝΑΚΤΟΣ.

Δημῶναξ τοὺς τῶν σωμάτων ἐπιμελουμένους.
ἑαυτῶν δὲ ἀμελοῦντας, ὠνείδιζεν. ὡς
τῶν μὲν οἴκων ἐπιμελουμένους. τῶμ δὲ ἐν
οἴκῳ ἀμελοῦμτας. ὁ αὐτὸς ἔλεγεν, ἐλάσσω
κακὰ πάσχουσιν οἱ ἄμθρωποι ὑπὸ τῶν ἐχθρῶν,
ἢ ὑπὸ τῶμ φίλων. τοὺς μὲμ γὰρ ἐχθροὺς δε-
διότες, φυλάσσονται. τοῖς δὲ φίλοις, ἀνεῳγμέ-
νοι εἰσί. καὶ γίγνονται σφαλεροί, καὶ εὐεπιβούλευ-
τοι. ὁ αὐτὸς εἶπεν. οἱ ἀπαίδευτοι καθάπερ
οἱ ἁλιευόμενοι ἰχθύες ἑλκόμενοι, σιγῶσιν.
ὁ αὐτὸς, τῶμ ἄλλωμ ἐξεταζόντων εἰ ὁ κόσμος
ἔμψυχος, καὶ αὖθις εἰ σφαιροειδής, ὑμᾶς εἶπε

περὶ τοῦ κόσμου πολυπραγμονεῖτε. περὶ δὲ τῆς αὐτῶν ἀκοσμίας, οὐ φροντίζετε.

ὁ αὐτὸς, τινὸς σοφιστοῦ αἰτιωμένου αὐτὸν, καὶ φήσαντος, διατί με κακῶς λέγεις, ὅτι μὴ καταφρονεῖς ἔφη, τῶμ κακῶς λεγόντων.

## ΔΗΜΟΚΡΙΤΟΥ.

Δημοκρίτου πρεσβεύομτος ποτὲ ὑπὲρ ἀθηναίωμ πρὸς φίλιππον, καὶ παῤῥησίᾳ διαλεγομένου, ὁ φίλιππος οὐ φοβῇ μὴ τὴν κεφαλήν σου ἔφη προστάξω ἀφαιρεθῆναι, οὐ φησιν. ἐὰν γὰρ σύ μου ταύτημ ἀφέλῃς, ἡ πατρίς μοι αὐτὴν ἀθάνατον ἀμαθήσει. ὁ αὐτὸς τὸμ φθόνον εἶπεν ἕλκος εἶναι τῆς ἀληθείας. ὁ αὐτὸς ἔλεγεν αὐξανομένου τοῦ σώματος, συναυξάνονται φρένες. γηράσκοντος δὲ, συγγηράσκουσι. καὶ εἰς τὰ πράγματα πάμτα ἀμβλύνομται.

ὁ αὐτὸς ἔλεγε, κόσμος ὀλιγομυθίη γυναικί. καλὸν δὲ καὶ κόσμου λιτότης. ὁ αὐτὸς ὥς ἀθηνόδωρος φησὶν ἐμ ὀγδόῃ περὶ πάντων, ἐλθόντος ἱπποκράτους πρὸς αὐτὸν, καὶ κελεύσαν

τος κομισθῆναι γάλα, θεασάμενος τὸ γάλα εἶπεν, αἰγὸς πρωτοτόκοιο καὶ μελαίνης. ὁ αὐτὸς κόρης ἀκολουθούσης τῷ ἱπποκράτει, τῇ μὲν πρώτῃ ἡμέρᾳ ἠσπάσατο οὕτω. χαῖρε κόρη. τῇ δὲ ἐχομένῃ, χαῖρε γύναι. καὶ ἦν ἡ κόρη τῆς νυκτὸς διεφθαρμένη. ὅθεν τὴν ἀκρίβειαν αὐτοῦ ὁ ἱπποκράτης ἐθαύμασεν. ὁ αὐτὸς προειπὼν τινὰ τῶμ μελλόντων, εὐδοκίμησε. καὶ ἐνθέου δόξης παρὰ τοῖς πλείστοις ἠξιώθη. νόμου δὲ ὄντος τὸν ἀναλώσαντα τὴμ πατρῴαμ οὐσίαν, μὴ ἀξιοῦσθαι ταφῆς ἐμ πατρίδι, φησὶν ἀντισθένης συνέντα, μὴ ὑπεύθυνος γενηθείη πρός τινωμ φθονούντων, καὶ συκοφαντούντων, ἀναγνῶναι αὐτοῖς τὸν μέγαν διάκοσμομ. ὃς ἁπάντων τῶμ συγγραμμάτων προέχει. καὶ πεντακοσίοις ταλάντοις τιμηθῆναι. μὴ μόνομ, ἀλλὰ καὶ χαλκαῖς εἰκόσι. καὶ τελευτήσαντα αὐτὸμ, δημοσίᾳ ταφῆναι. βιώσαντα ὑπὲρ τὰ ἑκατὸν ἔτη.

Δημήτριος δὲ ὁ φαληρεὺς τοὺς συγγενὰς αὐτοῦ φησὶν ἀναγνῶναι τὸν μέγαν διάκοσμον. ὃν μόνον ἑκατὸν ταλάντων τιμηθῆναι. ταῦτα δὲ καὶ ἱππόβοτός φησιν. ἀριστόξενος δ' ἐν τοῖς ἱστορικοῖς ὑπομνήμασί φησι, πλάτωνα θελῆσαι συμφλέξαι τὰ δημοκρίτου ὑπομνήματα, ὁπόσα ἠδυνήθη γε ἀγαγεῖν. ἀμυκλᾶν δὲ καὶ κλεινίαν τοὺς πυθαγορικοὺς, κωλῦσαι αὐτὸν, ὡς οὐδὲν ὄφελος. παρὰ πολλοῖς γὰρ εἶναι τὰ βιβλία. τελευτᾶν δὲ μέλλοντος, τὴν ἀδελφὴν αὐτοῦ φησὶν ἕρμιππος λελυπῆσθαι, ὅτι ἐν τῇ τῶν θεσμοφόρων ἑορτῇ μέλλει τεθνήξεσθαι, καὶ τῇ θεῷ τὸ καθῆκον αὐτὴ οὐ ποιήσειν. τὸν δὲ, θαῤῥεῖν εἰπεῖν. καὶ κελεῦσαι φησὶ θερμοὺς προσφέρειν ἄρτους αὐτῷ ὁσημέραι. τούτου δὲ ταῖς ῥισὶ προσφέρων, διεκαρτέρησεν ἐς ῥίτην ἑαυτόν. ἐπειδὴ δὲ παρῆλθον αἱ ἡμέραι, τρεῖς γὰρ ἦσαν, ἀλυπώτατον τὸν βίον προήκατο. βιοὺς ἐννέα πρὸς τοῖς ἑκατὸν ἔτεσιν, ὥς φησιν ἵππαρχος. ὁ αὐτὸς εἶπεν.

ἐτεῇ οὐδὲμ ἴδμεν. ἐν βυθῷ γὰρ ἡ ἀλήθεια.
ὁ αὐτὸς ἔφη. ψυχὴν σώματος ἀναγκαιότερομ
ἰᾶσθαι. τὸ γὰρ κακῶς ζῆν, τὸ τεθνάναι κρεῖσσον.
ὁ αὐτὸς ἔφη, θεῷ ὅμοιον ἔχει ὁ ἄνθρωπος τὸ εὐ-
ποιεῖν. ὅταμ τὸ εὐποιεῖν, μὴ καπηλεύηται. καὶ
τὸ εὐεργετεῖμ καὶ ἀληθεύειμ. ὁ αὐτὸς εἶπε, στά-
σις ἐμφύλιος, ἐς ἑκάτερα καλόμ. καὶ γὰρ νικέου-
σι καὶ ἡσσωμένοις, ὁμοίη φθορά. ὁ αὐτὸς εἶπεν,
οἱ ἀληθινοὶ φίλοι, καὶ τὰς φιλίας ἰδίας, καὶ τὰς
συμφορὰς ἐλαφροτέρας ποιοῦσιν. ὧν μὲν συ-
ναπολαύοντες, ὧν δὲ μεταλαμβάνοντες.
ὁ αὐτὸς ἔφη. ὡς ὁ γαμβροῦ μὲν ἐπιτυχών, εὗ-
ρεν υἱόμ. ὁ δὲ ἀποτυχών, ἀπώλεσε καὶ θυγα-
τέρα. ὁ αὐτὸς ἔλεγε, βούλεσθαι μᾶλλον
μίαμ εὑρεῖμ αἰτιολογίαν, ἢ τῶν περσῶν οἱ, βα-
σιλείαμ γενέσθαι. ὁ αὐτὸς νοσήσας, καὶ ληθάρ-
γῳ περιπεσών, ὡς ἀνένηψεν, οὐδέν με ἔφη
ἐξαπατήσει ἡ φιλοζωΐα. καὶ ἐξήγαγεν ἑαυτὸν
τοῦ βίου. ὁ αὐτὸς ἔλεγε διζημένοισι τἀγα-
θά, μόλις παραγίγνεται. τὰ δὲ κακά, καὶ μὴ

διζημένοισιν. ὁ αὐτὸς ἐρωτηθεὶς τί ἐστιν ἔρως, ἔφη. πάθος ψυχὴν κολάζον. Δημοκρίτῳ τῷ ἀβδηρίτῃ τάδε δοκεῖ. ἀρχὰς εἶναι τῶν ὅλων ἄτομον καὶ κενόν. τὰ δ' ἄλλα πάντα νενομίσθαι δοξάζεσθαι. ἀπείρους τε εἶναι κόσμους, καὶ γεννητούς, καὶ φθαρτούς. μηδέν τε ἐκ τοῦ μὴ ὄντος γίγνεσθαι. μὴ δὲ εἰς τὸ μὴ δὲ ὂν φθείρεσθαι. καὶ τὰς ἀτόμους ἀπείρους εἶναι, κατὰ μέγεθος καὶ πλῆθος. φέρεσθαι δὲ ἐν τῷ ὅλῳ δινουμένας, καὶ οὕτω πάντα τὰ συγκρινόμενα γεννᾶν. πῦρ. ὕδωρ. ἀέρα. γῆν. εἶναι γὰρ καὶ ταῦτα ἐξ ἀτόμων τινῶν συστήματα. ἅπερ εἶναι ἀπαθῆ καὶ ἀναλλοίωτα, διὰ τὴν στερρότητα. τόν τε ἥλιον, καὶ τὴν σελήνην, ἐκ τοιούτων λείων καὶ περιφερῶν ὄγκων συγκεκρίσθαι. καὶ τὴν ψυχὴν ὁμοίως. ἣν καὶ νοῦν ταὐτὸν εἶναι λέγει. ὁρᾶν δὲ ἡμᾶς κατ' εἰδώλων ἐμπτώσεις. πάντα τε κατ' ἀνάγκην γίγνεσθαι. τῆς δίνης αἰτίας οὔσης τῆς γενέσεως πάντων. ἣν ἀνάγκην καλεῖ. τέλος δ' εἶναι τὴν εὐθυμίαν. οὐ τὴν αὐτὴν οὖσαν τῇ ἡδονῇ, ὡς ἔνιοι παρακούοντες ἐξεδέξαντο.

ἀλλὰ καθ' ἣν γαληνῶς καὶ εὐσταθῶς ἡ ψυχὴ διάγει.
ὑπὸ μηδενὸς ταραττομένη φόβου, ἢ δεισιδαιμο
νίας, ἢ ἄλλου τινὸς πάθους. φύσιν δὲ εἶναι, τὸ κε
νὸν καὶ τὰ ἄτομα. ΕΙ ΕΜΨΥΧΟΣ Ο ΚΟΣΜΟΣ.
Δημόκριτος καὶ ἐπίκουρος, καὶ ὅσοι τὰ ἄτομα εἰση
γοῦνται καὶ τὸ κενόν. οὔτ' ἔμψυχον οὔτε προ
νοίᾳ διοικεῖσθαι. φύσει δέ τινι ἀλόγῳ. ἀριστοτέ
λης οὔτ' ἔμψυχον ὅλον δι' ὅλων. οὔτε λογικόν.
οὔτε νοερόν. οὔτε προνοίᾳ διοικούμενον. τὰ
μὲν γὰρ οὐράνια τούτων πάντων κοινωνεῖ. σφαίρας
γὰρ περιέχειν ἐμψύχους καὶ ζωτικάς. τὰ δὲ πε
ρίγεια, μηδενὸς αὐτῶν. τῆς δὲ εὐταξίας, κατὰ
συμβεβηκός, οὐ προηγουμένως μετέχειν.

ΔΙΑΓΟΡΟΥ.

Διαγόρας ἰδὼν φθονερὸν λυπούμενον, ἔφη. τού
τῳ ἢ μέγα κακὸν συμβέβηκεν. ἢ ἄλλῳ μέγα
ἀγαθόν. ὁ αὐτὸς ἐμπλέων χειμαζομένου τοῦ
σκάφους, καὶ τῶν ἐπιβατῶν λεγόντων ὅτι διὰ τὸν ἄν
δρα τοῦτον ἀπολλύμεθα, εἶπε. δείξας πλοῖον
ἕτερον ὁμοίως κινδυνεῦον. μή τι κἀκείνοις
Διαγόρας συμπλεῖ;

## ΔΙΩΝΟΣ.

Δίων ὁ ῥωμαῖος, καταγελάστους εἶναι ἔλεγε τοὺς
σπουδάζοντας περὶ τὸμ πλοῦτον. ὃν ἡ τύχη
μὲν παρέχει. ἀνελευθερία δὲ φυλάττει. χρη
στότης δὲ ἀφαιρεῖ. ὁ αὐτὸς ἔφη, πῶς οὐ δεινὸμ
τοῖς μὲν θεοῖς ἐνοχλεῖμ, αὐτοὺς δὲ μὴ βού
λεσθαι πράττειν, ἅ γε ἐφ' ἡμῖν εἶναι δοκεῖ τοῖς
θεοῖς. ὁ αὐτὸς ἔφη, αἱ μὲν ἡδοναὶ τοὺς ἀεὶ
συνόντας τά τε ἄλλα λυμαίνονται, καὶ ταχὺ
ποιοῦσιν ἀδυνάτους πρὸς αὐτάς. οἱ δὲ πόνοι
τά τε ἄλλα ὠφελοῦντες ἀεί, μᾶλλομ παρέ
χουσι δυναμένους πονεῖν. ὁ αὐτὸς εἶπε, τὸ
πλεῖστομ ἔοικε τοῦ ἀνθρωπίνου, πρὸς μὲν τὸ
ἀνθιστάμενομ καὶ παρὰ τὸ συμφέρον, φιλονει
κεῖμ. τοῖς δ' ὑπείκουσι, καὶ παρὰ δύναμιν ἀν
θυπουργεῖμ. ὁ αὐτὸν ἔφη, πολλῷ κρεῖττόν ἐ
στι κατορθώσαντάς τι ζηλοτυπηθῆναι, ἢ πταί
σαντας ἐλεηθῆναι. ὁ αὐτὸς εἶπε, δεῖ τοὺς
κειμένους νόμους ἰσχυρῶς φυλάττειν. καὶ μηδέ
να αὐτῶν μεταβάλλειν. τὰ γὰρ ἐν ταὐτῷ μέ

νοντα, κἂμ χείρω ᾖ, συμφερώτερα τῶμ ἀεὶ καινοτομουμένων, κἂμ βελτίω εἶναι δοκῇ, ἐστίν. ὁ αὐτὸς ἔφη, μηδέποτε μάτην τὰ χρήματα σπουδάζε ἀναλίσκειμ. ἐξ ὧμ οὐδεμία προσγίνεται εὔκλεια. πλοῦτος γὰρ ἀκριβής, οὐχ οὕτως ἐκ τοῦ πολλὰ λαμβάνειν, ὡς ἐκ τοῦ μὴ πολλὰ ἀναλίσκειν ἀθροίζεται. ὁ αὐτὸς ἔλεγε, πονηρίαμ μὲν ἀρχομένημ, κωλῦσαι τάχ᾽ ἄν τις κολάζων δυνηθείη. ἐγκαταγεγηρακυῖαμ δέ, καὶ γεγενημένημ τῶν εἰθισμένων τιμωριῶμ, ἀδύνατον εἶμαι ἔλεγεμ. ὁ αὐτὸς ἔφη. ἀδύνατόν ἐστι τἀναντία τινὰ τοῖς ὀρθῶς ἔχουσι πράττοντα, ἀγαθοῦ τινος ἀπ᾽ αὐτῶμ ἀπολαῦσαι.

Δίωνι τῷ ἀκαδημαϊκῷ ἀπὸ συμποσίου ἀναστρεφομένῳ τινί, παρεπόμενός κακῶς τις ἔλεγε. καὶ βλασφημίας οὐδὲν ἀπελίμπανεμ. ὁ δ᾽ ἡσύχως εἶχεν. ὡς δὲ καὶ ἐπὶ τὴμ οἰκίαν ἦλθε, μέλλοντι αὐτῷ εἰσιέναι, ὁ λοιδορῶν τί δαὶ ἔφη. πρὸς ὃμ εἶπεν ὁ Δίωμ οὐδὲ γρῦ.

Διογένης ἱκεσίου σινωπεύς. ἐρωτηθεὶς ὑπό τινος, διατί τὸ χρυσίομ χλωρόν ἐστιν, ἔφη. ὅτι πολλοὺς ἐπιβούλους ἔχει. ὁ αὐτὸς ἐρωτηθεὶς, τί κακὸμ ἐν βίῳ, ἔφη γυνὴ εὐειδής. ὁ αὐτὸς ἰδὼν τοὺς ἀναξιμένους οἰκέτας πολλὰ σκεύη παραφέροντας, ἤρετο. τίνος ταῦτα. τῶν δὲ εἰπόντων ἀναξιμένους, οὐκ αἰδεῖται φησὶ ταῦτα ἔχων, αὐτὸς ἑαυτοῦ μὴ ἔχων; ὁ αὐτὸς ἐρωτηθεὶς τί τῶν θηρίωμ κάκιστα δάκνει, ἔφη. τῶν μὲν ἀγρίων, συκοφάντης. τῶν δὲ ἡμέρωμ, κόλαξ. ὁ αὐτὸς κοινολογουμένας γυναῖκας θεασάμενος, ἔφη. ἀσπὶς παρ᾽ ἐχίδνης φάρμακον δανείζεται. ὁ αὐτὸς, ἐρομένου τινὸς αὐτοῦ τί νομίζεις τὸ γῆρας, ἀπεκρίνατο τοῦ ζῆν χειμῶνα. ὁ αὐτὸς ἰδὼν γραῦν καλλωπιζομένην, εἶπεμ. εἰ μὲν πρὸς τοὺς ζῶντας, πεπλάνησαι. εἰ δὲ πρὸς τοὺς νεκροὺς μὴ βράδυνε. ὁ αὐτὸς ἡμέρας ποτὲ λύχνομ ἅψας περιῄει. πυνθανομένωμ δέ τινωμ πρὸς τί τοῦτο, ἔλεγεμ ἄνθρωπομ ζη-

τὴν. ὁ αὐτὸς ἔλεγε δεινὸν, εἰ οἱ μὲν ἀθληταὶ
καὶ οἱ κιθαρῳδοὶ γαστρὸς καὶ ἡδονῶν κρατοῦ
σιν. οἱ μὲν, τῆς φωνῆς χάριν. οἱ δὲ, τοῦ σώμα
τος. σωφροσύνης δὲ ἕνεκα οὐδεὶς τούτων
καταφρονήσει. ὁ αὐτὸς ἐμα τῶν ἀγεννεστέ
ρων παθῶν ζηλωτὴν παιδαγωγικῶς ἐπιπλήτ
των, ὁπηνίκα ἐπιπράσκετο, ἀνδρείως σφό
δρα ἤνεγκεν, εἶπεν ὦ μειράκιον ἄνδρα ὤνησαι
σαυτῷ. ἀμφιβόλῳ λόγῳ τὸ θερμικὸν ἐκείνου
σωφρονίζων. ὁ αὐτὸς γενόμενος ἀθήνησιν, ἀν
τισθένει παρέβαλλε. τοῦ δὲ, διωθουμένου διὰ τὸ
μηδένα προσίεσθαι, ἐξεβιάζετο τῇ προσεδρίᾳ.
καί ποτε τὴν βακτηρίαν προτεινομένου αὐτῷ, τὴν
κεφαλὴν ὑποσχὼν, παῖε εἶπεν. οὐ γὰρ εὑρή
σεις οὕτω σκληρὸν ξύλον ᾧ με ἀπείρξεις, ἕ
ως ἄν τι φαίνῃ λέγων. τοὐντεῦθεν διήκου
σεν αὐτοῦ. καὶ ἅτε φυγὰς ὢν, ὥρμησεν ἐπὶ
τὸν ἀτελῆ βίον. ὁ αὐτὸς ᾔτησε πλάτω
να ποτὲ ἰσχάδας δέκα. ὁ δὲ, κεράμιον
ὅλον ἐξέπεμψεν αὐτῷ. καὶ ὅς, σὺ φησὶ κἂν

ἐρωτηθεὶς δύο καὶ δύο πόσα ἐστὶν. εἴκοσιν ἀπο-
κρινῇ. οὕτως οὔτε πρὸς τὰ αἰτούμενα δίδως.
οὔτε πρὸς τὰ ἐρωτώμενα ἀποκρίνῃ. ἔσκω-
ψε δὴ οὖν αὐτὸν ὡς ἀπεραντολόγον. ὁ αὐ-
τὸς ἐρωτηθεὶς, ποῦ τῆς ἑλλάδος ἴδοι ἀγαθοὺς
ἄνδρας, ἄνδρας μὲν εἶπεν οὐδαμοῦ. παῖδας
δ᾽ ἐν λακεδαίμονι. σπουδαιολογουμένου πο-
τὲ, ἐπεὶ οὐδεὶς προσῄει, ἐπέβαλλε τερετί-
ζειν. ἀθροισθέντων δὲ ὠνείδισεν. ὡς ἐπὶ μὲν
τοὺς φληνάφους, ἀφικνουμένων σπουδαίως.
ἐπὶ δὲ τὰ σπουδαῖα, βραδυνόντων ὀλιγώρως.
ὁ αὐτὸς, τοὺς γραμματικοὺς ἐθαύμαζε τὰ μὲν
τοῦ ὀδυσσέως κακὰ ἀναζητοῦντας. τὰ δὲ ἴδια
ἀγνοοῦντας. καὶ μὴν καὶ τοὺς μουσικοὺς, τὰς
μὲν ἐν τῇ λύρᾳ χορδὰς ἁρμόττεσθαι. ἀνάρ-
μοστα δὲ ἔχειν τῆς ψυχῆς τὰ ἤθη. καὶ τοὺς μα-
θηματικοὺς, ἀποβλέπειν μὲν, πρὸς τὸν ἥλιον.
καὶ τὴν σελήνην. τὰ δὲ ἐν ποσὶ πράγματα πα-
ρορᾶν. καὶ τοὺς ῥήτορας, τὰ δίκαια μὲν ἐσπου-
δακέναι λέγειν, πράττειν δὲ μηδαμῶς. καὶ τοὺς

φιλαργύρους

φιλαργύρους ψέγειν μὲμ τὸ ἀργύριον, ὑπεραγα
πᾶν δέ. ἤγατο δὲ καὶ τῶν δούλων, οἳ λαβρο
φαγοῦντας ὁρῶντες τοὺς δεσπότας, μηδὲν
ἁρπάζοιεν τῶν ἐσθιομένων. ὁ αὐτὸς ὥς φη
σι μένιππος ἁλοὺς, καὶ πωλούμενος, ἠρωτή
θη τί οἶδε ποιεῖν. ἀπεκρίνατο ἀνδρῶν ἄρχειν.
καὶ πρὸς τὸν κήρυκα κήρυσσε ἔφη. εἴ τις θέλει
δεσπότην αὑτῷ πρίασθαι. ὁ αὐτὸς ἔλεγε
τῷ ξενιάδῃ τῷ πριαμένῳ αὐτὸν, δεῖν πείθε
σθαι αὐτῷ, εἰ καὶ δοῦλος εἴη. καὶ γὰρ ἰατρὸς, ἢ κυ
βερνήτης εἰ δοῦλος εἴη πεισθῆναι ἂν αὐτῷ.
ὁ αὐτὸς, ὡς εὔβουλός φησιν ἐν τῷ ἐπιγραφομέ
νῳ διογένους πράσει, οὕτως ἦγε τοὺς παῖδας
τοῦ ξενιάδου, μετὰ τὰ λοιπὰ μαθήματα, ἱπ
πεύειν, τοξεύειν, σφενδονᾶν, ἀκοντίζειν. ἔπει
τα ἐν τῇ παλαίστρᾳ οὐκ ἐπέτρεπε τῷ παιδο
τρίβῃ ἀθλητικῶς ἄγειν. ἀλλ᾽ αὐτῷ. ἐρυθήμα
τος χάριν καὶ εὐεξίας. κατεῖχον δ᾽ οἱ παῖδες
πολλὰ ποιητῶν καὶ συγγραφέων. καὶ τῶν αὐτοῦ
διογένους, πᾶσάν τ᾽ ἔφοδον σύντομον πρὸς τὸ

υμνημόνευτομ ἐπήσκει. ἐμ οἴκῳ τε ἐδίδα
ξε διακονεῖσθαι, λιτῇ τροφῇ χρωμένους. καὶ ὕ
δωρ πίνοντας. ἐν χρῷ κουρίας, ἀκαλλωπίστους
τε εἰργάζετο. καὶ ἀχίτωνας. καὶ ἀνυποδήτους. καὶ
σιωπηλούς. καὶ καθ' αὑτοὺς βλέποντας ἐν ταῖς
ὁδοῖς. ἐξῆγε δ' αὐτοὺς καὶ ἐπὶ κυνηγέσια. οἱ
δὲ, καὶ αὐτοῦ διογένους ἐπιμέλειαν ἐποιοῦντο.
καὶ πρὸς τοὺς γονέας αἰτητικῶς εἶχον. ὁ δ' αὐ
τὸς εὔβουλος, παρὰ τῷ ξενιάδῃ καὶ γηρᾶσαι
αὐτὸμ, καὶ θανόντα ταφῆναι πρὸς τῶν υἱῶν
αὐτοῦ. ἔνθα καὶ πυνθανομένου τοῦ ξενιάδου
πῶς αὐτὸν θάψειεν, ἔφη. ἐπὶ πρόσωπον. τοῦ
δ' ἐρομένου διατὶ, ὅτι μετ' ὀλίγον ἄνω μέλ
λει τὰ κάτω ἀναστρέφεσθαι. τοῦτο δὲ, διὰ
τὸ ἐπικρατεῖν ἤδη τοὺς μακεδόνας. ἢ ἐκ
ταπεινῶν ὑψηλοὺς γενέσθαι. ὁ αὐτὸς, εἰσα
γαγόντος τινὸς αὐτὸν εἰς οἶκον πολυτελῆ καὶ
κωλύοντος πτύσαι, ἐπειδὴ ἐχρέμψατο, ἐς
τὴν ὄψιν αὐτοῦ ἔπτυσεν. εἰπὼν, χείρονα τό
πον μὴ εὑρηκέναι. οἱ δὲ τοῦτο, ἀριστίππου φασίν.

ὁ αὐτὸς, φωνήσας ποτὲ ὦ ἄνθρωποι, συνελθόν-
των, καθίκετο τῇ βακτηρίᾳ. εἰπὼν, ἀνθρώπους
ἐκάλεσα οὐ καθάρματα. φησὶ κάτων ἐν τῷ
πρώτῳ τῶν χρειῶν εἰπεῖν τὸν ἀλέξανδρον, ὡς εἴ-
περ ἀλέξανδρος μὴ ἐγεγόνει, ἐθελῆσαι ἂν διο-
γένης γενέσθαι. διογένης ἀναπείρους ἔλεγεν, οὐ
τοὺς κωφοὺς καὶ τυφλούς, ἀλλὰ τοὺς μὴ ἔχοντας
πήραν. ὁ αὐτὸς ἔλεγεν, ἑαυτὸν κύνα εἶναι τῶν ἐ-
παινουμένων, ἀλλὰ μηδένα τολμᾶν τῶν ἐπαι-
νούντων συνιέναι ἐπὶ τὴν θήραν. ὁ αὐτὸς, πλά-
τωνος περὶ ἰδεῶν διαλεγομένου, καὶ ὀνομάζον-
τος τραπεζότητα, καὶ κυαθότητα, εἶπεν. ἐγὼ ὦ
πλάτων τράπεζαν μὲν, καὶ κύαθον ὁρῶ. τραπεζότη-
τα δὲ, ἢ κυαθότητα, οὐδαμῶς. καὶ ὃς, κατὰ λόγον ἔ-
φη. οἷς μὲν γὰρ τράπεζα καὶ κύαθος θεωρεῖται, ὀ-
φθαλμοὺς ἔχεις. ᾧ δὲ κύαθος καὶ τραπεζότης
βλέπεται, νοῦν οὐκ ἔχεις. ὁ αὐτὸς, ἰδὼν μειρά-
κιον ἐρυθριῶν, θάρρει ἔφη. τοιοῦτόν ἐστι τῆς ἀρε-
τῆς τὸ χρῶμα. ὁ αὐτὸς, πρὸς τοὺς συμβουλεύον-
τας τὸν ἀποδράντα αὐτοῦ δοῦλον ζητεῖν,

γελοῖομ ἔφη. εἰ μάνης μὲν χωρὶς διογένους ζῇ,
διογένης δὲ χωρὶς μάνου οὐ δύναται.
κρατεροῦ ἀξιοῦντος πρὸς αὐτὸν ἀπιέναι, ἀλ
λὰ βούλομαι ἔφη ἐμ ἀθήναις ἅλα λείχειν, ἢ
παρὰ κρατέρου τῆς πολυτελοῦς τραπέζης ἀ
πολαύειν. Ἀναξιμένει τῷ ῥήτορι παχεῖ ὄμτι,
προσελθὼμ, ἐπίδος καὶ ἡμῖν ἔφη τοῖς πτωχοῖς
τῆς γαστρός. καὶ γὰρ αὐτὸς κουφισθείσῃ, καὶ ἡμᾶς
ὠφελήσεις. Διαλεγομένου δὲ αὐτοῦ ποτὲ, τά
ριχος προτείνας, προσέσπασε τοὺς ἀκροα
τάς. ἀγανακτοῦντος δὲ, τὴμ ἀναξιμένους ἔφη
διάλεξιν, ὀβολοῦ τάριχος διαλέλυκεμ.
Θεασάμενος μειράκιον φιλοσοφοῦν, εὖγε εἶπεμ,
ὅτι τοὺς τοῦ σώματος ἐραστὰς, ἐπὶ τὸ τῆς ψυ
χῆς κάλλος μετάγεις. Θαυμάζομτός τινος
τὰ ἐν σαμοθρᾴκῃ ἀμαθήματα, ἔφη. πολλῷ
ἂν εἴη πλείω, εἰ καὶ οἱ μὴ σωθέμτες, ἀνετίθε
σαμ. ὁ αὐτὸς ἐπανήρχετο ἐκ λακεδαίμονος
εἰς ἀθήνας. πρὸς οὖν τὸμ πυθόμενον ποῦ, καὶ πό
θεν, ἐκ τῆς ἀνδρωνίτιδος εἶπε πρὸς τὴν γυναι

κωνίτημ. ὁ αὐτὸς ἐρωτηθεὶς τί ποιῶν κύωμ καλεῖται, ἔφη τοὺς μὲμ μὴ διδόντας, ὑλακτῶν. τοὺς δὲ πονηροὺς, δάκνων. τοὺς δὲ διδόντας, σαίνων. Ἀλεξάνδρου περὶ ἐπιστάντος αὐτῷ καὶ εἰπόντος ἐγὼ εἰμι ἀλέξανδρος ὁ μέγας βασιλεύς. κἀγὼ ἔφη, διογένης ὁ κύων. ἀριστῶν τι ἐν ἀγορᾷ, οἱ περιεστῶτες συνεχῶς ἔλεγομ κύωμ. ὁ δὲ, ὑμεῖς εἶπεν ἐστὲ κύνες, οἵ με ἀριστῶντα περιεστήκατε. ἐρωτηθεὶς πόθεν εἴη, κοσμοπολίτης εἶπε. πρὸς τὸν ὀνειδίζοντα ὡς εἰς τόπους ἀκαθάρτους εἰσίει, καὶ γὰρ καὶ ὁ ἥλιος πρὸς τοὺς ἀποπάτους, ἀλλ᾽ οὐ μιαίνεται. ὁ αὐτὸς ἰδὼν εὐπρεπῆ νεανίσκον ἀπρεπῶς λαλοῦντα, οὐκ αἰσχύνῃ ἔφη ἐξ ἐλαφαντίμου κολεοῦ μολυβδίνημ ἕλκων μάχαιραν; ὀνειδιζόμενος ὅτι παρὰ ἀντιπάτρου ῥιβώνιον ἔλαβεν, ἔφη.

οὔτι ἀπόβλητ᾽ ἐστὶ θεῶμ ἐρικυδέα δῶρα.

ἐρωτηθεὶς διατὶ ἀνδράποδα ἐκλήθη, ὅτι φησὶ τοὺς πόδας ἀνδρῶμ εἶχομ. τὴμ δὲ ψυχὴν, ὁ ποίαμ σὺ ὁ ἐξετάζωμ. ὀνειδιζόμενος ὅτι

αὐτὸς αἰτεῖ Πλάτωνος μὴ αἰτοῦντος, κἀ-
κεῖνος εἶπεν αἰτεῖ. ἀλλ' ἄγχι ἴσχωμ κεφαλήν,
ἵνα μὴ πευθοίαθ' οἱ ἄλλοι. ὁ αὐτὸς ἐρωτη-
θεὶς εἰ κακὸς ὁ θάνατος, πῶς εἶπε κακός, οὗ
παρόντος, οὐκ αἰσθανόμεθα. πρὸς ἀλέξαν-
δρον ἐπιστάντα καὶ εἰπόντα οὐ φοβῇ με, τί
γὰρ εἶπεν, ἢ ἀγαθόν, ἢ κακόν. τοῦ δ' εἰπόντος
ἀγαθόν. τίς οὖν εἶπε τὸ ἀγαθὸν φοβεῖται.
ὁ αὐτὸς ἔλεγε τὴν παιδείαν, τοῖς μὲν νέοις,
σωφροσύνην. τοῖς δὲ πρεσβυτέροις, παρα-
μυθίαν. τοῖς δὲ πένησι, πλοῦτον. τοῖς δὲ
πλουσίοις, κόσμον εἶναι. πρὸς διδύμωνα
τὸν μοιχόν, ἰατρεύοντά ποτε κόρης ὀφθαλ-
μόν, ὅρα φησὶ μὴ τὸμ ὀφθαλμὸμ τῆς παρθέ-
νου θεραπεύωμ, τὴν κόρην φθείρῃς.
ὁ αὐτὸς ἀποτριβόμενος τὸ αἰδοῖον ἐν τῷ φανε-
ρῷ, ἔλεγε πρὸς τοὺς παρόντας, εἴθε καὶ τὸν
λιμὸν οὕτως ἀποτρίψασθαι τῆς γαστρὸς ἠδυνά-
μην. ὁ αὐτὸς παιδὸς ὀψοφαγοῦντος, τῷ παιδα-
γωγῷ κόνδυλον ἔδωκεν. ὀρθῶς. οὐ γὰρ μὴ μαν-

θάνοντος, ἀλλὰ τοῦ μὴ διδάξαντος τὸ ἁμάρτη-
μα ποιήσας. Διογένης ἀκούσαντα σοφοκλέους
„ περὶ μυστηρίων, ὡς τρισόλβιοι κεῖνοι βροτῶν·
„ οἳ τάδε δερχθέντες τέλη μολῶσ' ἐν ᾅδου.
„ τοῖς δὲ γὰρ μόνοις ἐκεῖ ζῆν ἐστι. τοῖς δ' ἄλλοισι
„ πάντα ἐκτόπως κακά, τί λέγεις ἔφη. κρεῖττο-
να μοῖραν ἕξει παταικίων ὁ κλέπτης, ἢ ἐπα-
μινώνδας ὅτι μεμύηται; Ὁ αὐτὸς, εὐγε-
νείας καὶ δόξας καὶ τὰ τοιαῦτα πάντα διέ-
παιζε, προσκοσμήματα κακίας εἶναι λέγων.
μόνην δὲ ὀρθὴν πολιτείαν εἶναι, τὴν ἐν τῷ
κόσμῳ. ἔλεγε δὲ καὶ κοινὰς εἶναι δεῖν τὰς
γυναῖκας. γάμον μηδὲν ὀνομάζων, ἀλλὰ τὸν
πείσαντα τῇ πεισάσῃ συνεῖναι. κοινοὺς δὲ
διὰ τοῦτο καὶ τοὺς υἱέας. Ὁ αὐτὸς πλέ-
ων εἰς αἴγιναν, καὶ πειραταῖς ἁλοὺς, ὧν ἦρ-
χε κίρπαλος, εἰς κρήτην ἀπαχθεὶς, ἐπιπρά-
σκετο. καὶ τοῦ κήρυκος ἐρωτῶντος, τί οἶδε
ποιεῖν, ἔφη ἀνθρώπων ἄρχειν. ὅτε καὶ δείξας τι-
νὰ κορίνθιον εὐπάρυφον τὸν ξενιάδην, ἔφη.

τούτῳ με πώλει· οὗτος δεσπότου χρῄζει. ὠνεῖται δὲ αὐτὸν ξενιάδης, καὶ ἀπαγαγὼν εἰς τὴν κόρινθον, ἐπέστησε τοῖς ἑαυτοῦ παιδίοις. καὶ πᾶσαν ἐνεχείρισε τὴν οἰκίαν. ὁ δὲ, οὕτω πρὸς αὐτὸν ἐν πᾶσι διετέθη, ὥστε ἐκεῖνος περιϊὼν, ἀγαθὸς ἔλεγε δαίμων εἰς τὴν οἰκίαν μου εἰσελήλυθε. φησὶ δὲ κλεομένης ἐμ τῷ ἐπιγραφομένῳ παιδαγωγικῷ, τοὺς γνωρίμους λυτρώσασθαι αὐτὸν θελῆσαι. τὸν δὲ, εὐήθεις αὐτοὺς εἰπεῖν. οὐδὲ γὰρ τοὺς λέοντας δούλους εἶναι τῶν τρεφόντων, ἀλλὰ τοὺς τρέφοντας, τῶν λεόντων. δούλου γὰρ τὸ φοβεῖσθαι. τὰ δὲ θηρία, φοβερὰ τοῖς ἀνθρώποις εἶναι. ὁ αὐτὸς εἶπεν, οἱ μὲν κύνες τοὺς ἐχθροὺς δάκνουσιν. ἐγὼ δὲ τοὺς φίλους, ἵνα σώσω. ὁ αὐτὸς πρὸς τοὺς εἰπόντας γέρων εἶ, καὶ λοιπὸν ἄνες, τί δὲ ἔφη εἰ δόλιχον ἔτρεχον, πρὸς τὸ τέλος ἔδει με ἀνιέναι, καὶ μὴ μᾶλλον ἐπιτεῖναι; ὁ αὐτὸς, δημοσθένην ποτὲ τὸν ῥήτορα ἐμ πανδοχείῳ ἀριστῶντα κατέλαβε. τοῦ δὲ ὑποχωροῦντος, τόσου

τῷ μᾶλλον ἐστὶν ἔφη ἐμ μέσῳ πανδοχείῳ.
ὁ αὐτὸς, τῷ πριαμένῳ αὐτὸν ξενιάδῃ ἔλεγεν.
ἄγε ὅπως τὸ προσταττόμενον ποιήσῃς. τοῦ δὲ
εἰπόντος, ἄνω ποταμῶν χωροῦσι πηγαὶ, εἰ δὲ ἰα
τρὸμ ἔφη ἐπρίω νοσῶν, οὐκ ἂν αὐτοῦ ἐπείθου,
ἀλλ' εἶπες ἂν ὡς ἄνω ποταμῶν χωροῦσι πη
γαί. ὁ αὐτὸς, σαπέρδην δοὺς τῷ βουλομένῳ
παρ' αὐτῷ φιλοσοφεῖν, ἐποίησεν αὐτὸν οἱ ἀ
κολουθεῖν. ὡς δ' ὑπ' αἰδοῦς ῥίψας ἀπῆλθεν, με
τὰ χρόνον ὑπαντήσας αὐτῷ, καὶ γελάσας ἔ
φη. τὴν σὴν καὶ ἐμὴν φιλίαν, σαπέρδης διέλυ
σεν. διοκλῆς δὲ οὕτως ἀναγράφει. εἰπόντος
αὐτῷ τινὸς, ἐπίταττε ἡμῖν διόγενες, ἀπαγα
γὼν αὐτὸν, ἡμιοβόλου τυρὸν ἔδωκε φέρειν. ἀρ
νησαμένου δὲ, τὴν σὴν ἔφη καὶ ἐμὴν φιλίαν,
ἡμιοβόλου τυρίον διαλέλυκεν. ὁ αὐτὸς, θεα
σάμενός ποτε παιδίον ταῖς χερσὶ πίνον, ἐ
ξέρριψε τῆς πήρας τὴν κοτύλην. εἰπὼν, παι
δίον με νενίκηκεν εὐτελείᾳ. ἐξέβαλλε δὲ
καὶ τὸ τρυβλίον ὁμοίως, παιδίον θεασάμενος,

ἐπειδὴ κατέαξε τὸ σκεῦος, τῷ κοίλῳ τοῦ ψω-
μίου τὴμ φακὴμ ὑποδεχόμενον. Διογένης
συνελογίζετο καὶ οὕτως. τῶν θεῶν ἐστὶ τὰ πάν-
τα. φίλοι δὲ οἱ σοφοὶ τοῖς θεοῖς. κοινὰ δὲ τὰ
τῶν φίλων. πάντα ἄρα ἐστὶ τῶν σοφῶν. ὁ αὐτὸς,
Πλάτωνος ὁρισαμένου, ἄνθρωπος ἐστὶ ζῶον δίπουν
ἄπτερομ. καὶ εὐδοκιμοῦντος, τίλλας ἀλεκτρυό-
να, εἰσήνεγκεν αὐτοῦ εἰς τὴν σχολήν. καὶ εἶπεμ. οὗ-
τός ἐστιν ὁ Πλάτωνος ἄνθρωπος. ὅθεν τῷ ὅρῳ προσε-
τέθη τὸ πλατυόνυχομ. ὁ αὐτὸς, πρὸς τὸν πυ-
θόμενον ποίαν ὥραν δεῖ ἀριστᾶν, εἰ μὲν πλού-
σιος εἶπεν, ὅταν θέλῃ. εἰ δὲ πένης, ὅταν ἔχῃ.
ἡλιουμένου ποτὲ, Ἀλέξανδρος ἐπιστὰς φησίν.
αἴτησόν με ὃ θέλεις. καὶ ὅς, ἀποσκότησόμ μου
φησίν. ὁ αὐτὸς πρὸς τὸν λέγοντα περὶ τῶν με-
τεώρων, πόστος ἔφη πάρει ἀπ' οὐρανοῦ.
ὁ αὐτὸς, εὐνούχου πονηροῦ ἐπιγράψαντος ἐπὶ
τὴμ οἰκίαμ μηδὲν εἰσίτω κακὸν, ὁ οὖν κύριος
ἔφη τῆς οἰκίας ποῦ εἰσελεύσεται. ὁ αὐτὸς,
πρὸς τοὺς ἑρπύσαντας ἐπὶ τὴν τράπεζαν μῦς.

ἰδοὺ φησὶ καὶ Διογένης παρασίτους τρέφει.
ὁ αὐτὸς, ὀλυμπιάσι τοῦ κήρυκος ἀμειπόντος, νι-
κᾷ Διώξιππος ἄμδρας. οὗτος δὴ ἔφη ἀνδρά-
ποδα. ἄμδρας δ᾽ ἐγώ. ἠγαπᾶτο δὲ καὶ πρὸς ἀ-
θηναίων. μειρακίου γὰρ τὸν πίθον αὐτοῦ συντρίψαν-
τος, τῷ μὲν, πληγὰς ἔδωκαμ. ἐκείνῳ δὲ ἄλλον
παρέσχον. ὁ αὐτὸς ὥς φησι Διονύσιος ὁ στωϊ-
κὸς, μετὰ τὴν χερώνειαν συλληφθεὶς, ἀπήχθη
πρὸς φίλιππον. καὶ ἐρωτηθεὶς τίς εἴη, ἀπεκρί-
θη. κατάσκοπος τῆς σῆς ἀπληστίας. ὅθεμ θαυ-
μασθεὶς, ἀφείθη. ὁ αὐτὸς, ἀλεξάμδρου ποτὲ
πέμψαντος ἐπιστολὴν πρὸς ἀμτίπατρον εἰς
ἀθήνας, διά τινος ἀθλίου, παρὼν ἔφη. ἄθλιος
παρ᾽ ἀθλίου. δι᾽ ἀθλίου. πρὸς ἄθλιον. ὁ αὐτὸς πρὸς
τὸν ὑπὸ τοῦ οἰκέτου ὑποδούμενον. οὔπω εἶπεν μα-
κάριος εἶ, ἂμ μή σε καὶ ἀπομύξῃ. τοῦτο δ᾽ ἔσται
σοι, πηρωθέντι τὰς χεῖρας. ὁ αὐτὸς, θεασά-
μενός ποτε τοὺς ἱερομμήμονας, τῶμ ταμι-
ῶν τινὰ φιάλημ ὑφῃρημένον ἄγοντας, ἔφη. οἱ
μεγάλοι κλέπται, τὸμ μικρὸν ἄγουσιμ.

ὁ αὐτὸς, θεασάμενός ποτε μειράκιον λίθους βάλ
λον ἐπὶ σταυρόν. εὖγε εἶπε. τεύξῃ γὰρ τοῦ σκο
ποῦ. πρὸς τὰ περιστάντα μειράκια. καὶ εἰπόν
τα, βλέπωμεμ μὴ δάκῃ ἡμᾶς, θαρρεῖτε ἔφη
παιδία. κύων τευτλία οὐκ ἐσθίει. Διογένει ἐν
δείπνῳ προσερρίπτουν τινὲς ὀστάρια ὡς κυνί.
καὶ ὃς ἀπαλλαττόμενος, προσούρησεν αὐτοῖς
ὡς κύωμ. ὁ αὐτὸς τὸμ πλούσιομ καὶ ἀμαθῆ,
πρόβατομ εἶναι χρυσόμαλλον ἔλεγεν. Ἡγησι
βούλου παρακαλοῦντος χρῆσαί τι αὐτῷ τῶν
συγγραμμάτων, μάταιος ἔφη τυγχάνεις ὦ Ἡγη
σία. ὃς ἰσχάδας μὲμ γραπτὰς οὐχ αἱρῇ, ἀλλὰ
τὰς ἀληθινάς. ἄσκησιν δὲ παριδὼν τὴν ἀληθι
νήν, ἐπὶ τὴν γεγραμμένην ὁρμᾷς. πρός τε
τὸν ὀνειδίσαντα αὐτῷ τὴν φυγήν, ἀλλὰ τούτου
γε ἕνεκεν εἶπεν ὦ κακόδαιμον, ἐφιλοσόφησα.
ἰδὼμ ποτε ὀλυμπιονίκην πρόβατα νέμοντα,
ταχέως εἶπεν ὦ βέλτιστε μετέβης ἀπὸ τῶν
ὀλυμπίων, ἐπὶ τὰ νέμεα. ἤτει ποτὲ ἀν
δριάντα. ἐρωτηθεὶς δὲ διατί τοῦτο ποιεῖ, με

λετῷ εἶπεν ἀποτυγχάνειν. Αἰτῶν τινα, καὶ
γὰρ τοῦτο πρῶτον ἐποίησε διὰ τὴν ἀπορίαν, ἔ-
φη. εἰ μὲν καὶ ἄλλῳ δέδωκας, δὸς κἀμοί. εἰ δὲ
μηδενί, ἀπ' ἐμοῦ ἄρξαι. τὴν φιλαργυρίαν εἶ-
πε, μητρόπολιν πάντων τῶν κακῶν. τοὺς ἀγα-
θοὺς ἄνδρας, εἰκόνας θεῶν εἶναι. τὸν ἔρωτα,
σχολαζόντων ἀσχολίαμ. ἰδὼν γυναῖκα ἐν φο-
ρείῳ, οὐ κατὰ τὸ θηρίον ἔφη ἡ γαλεάγρα.
ἰδὼμ ποτε γυναῖκας ἀπ' ἐλαίας ἀπηγχονημένας.
εἴθε γὰρ ἔφη πάντα τὰ δένδρα, τοιοῦτον καρ-
πὸμ ἤνεγκεν. ὁ αὐτὸς ἐρωτηθείς, τί ἡ γῆ
βαρύτερον βαστάζει, ἔφη. ἄνθρωπομ ἀπαίδευ-
τομ. ὁ αὐτός, ὀνειδίσαντος αὐτῷ τινὸς ὡς εἰς
ἀκαθάρτους τόπους εἰσέρχεται, ἔφη. καὶ ὁ ἥλιος
ἀλλ' οὐ μιαίνεται. ὁ αὐτὸς ἐρωτηθεὶς ὑπό
τινος, διὰ τίνα αἰτίαμ ἄνθρωποι τοῖς μὲμ προ-
σαιτοῦσι διδόασι, τοῖς δὲ φιλοσοφοῦσιν οὐ πά-
νυ τι; εἶπεν. ὅτι χωλοὶ μὲν καὶ τυφλοί, ἴσως
ἐλπίζουσι γενέσθαι. φιλόσοφοι δὲ οὔ. ὁ αὐτὸς
λοιδορούμενος ὑπό τινος φαλακροῦ, ἔφη. ἐγὼ

μὲν οὐχ ὑβρίζω. τὰς δὲ ῥίζας σου ἐπαινῶ, ὅτι
κακὸν κρανίον ἐξέφυσαν. ὁ αὐτὸς προδότου
τινὸς κακῶς αὐτὸν λέγοντος, ἔφη. χαίρω ἐχθρός
σου γενόμενος. σὺ γὰρ οὐ τοὺς ἐχθροὺς, ἀλλὰ τοὺς
φίλους κακῶς ποιεῖς. ὁ αὐτὸς, τὴν πενίαν αὐτο
δίδακτον ἔφη εἶναι ἐπικούρημα, πρὸς φιλοσο
φίαν. ἃ γὰρ ἐκείνη μὲν πείθειν τοῖς λόγοις πειρᾶ
σθαι, ταῦτα ἐν ἔργοις τὴν πενίαν ἀναγκάζειν. ὁ αὐ
τὸς, ὀνειδίσαντος αὐτῷ τινὸς πενίαν, ἔφη. διὰ
μὲν πενίαν, οὐδένα πώποτε στρεβλούμενον
εἶδον. διὰ δὲ κακίαν, πολλούς. ὁ αὐτὸς εἰπόν
τος τινὸς χαλεπόν ἐστι τὸ ζῆν, οὐ εἶπεν. ἀλλὰ
τὸ κακῶς ζῆν. ὁ αὐτὸς, ἄσωτον ᾔτει μνᾶν. τοῦ δὲ
εἰπόντος διατὶ τοὺς ἄλλους διόβολα, ἐμὲ δὲ
μνᾶν ζητεῖς, ἔφη. παρὰ μὲν τῶν ἄλλων ἐλπίζω
πάλιν. παρὰ σοῦ δὲ οὐκέτι. ὁ αὐτὸς ἐρωτη
θεὶς, ποῖα εἴη θηρία χαλεπώτερα, εἶπεν. ἐν
μὲν τοῖς ὄρεσιν, ἄρκτοι καὶ λέοντες. ἐν δὲ ταῖς πό
λεσι, τελῶναι καὶ συκοφάνται. ὁ αὐτὸς ἔλεγε,
μήτε ἐν πόλει πλουσίᾳ, μήτε ἐν οἰκίᾳ, ἀρετὴν

οἰκεῖν δύνασθαι. ὁ αὐτὸς εἶπε τὸν πλοῦτον, τύ-
χης ἔμπλεον εἶναι. ὁ αὐτὸς, ἰδὼν μειράκιον ἐκ-
στατικὸν, καὶ παραφρονοῦν, νεανίσκε ἔφη. ὁ πα-
τήρ σε μεθύων ἔσπειρε. ὁ αὐτὸς ὀδυρομένου
τινὸς, ἐπειδὴ ἐπὶ ξένης ἔμελλε τελευτᾶν, εἶ-
πε. τί ὀδύνῃ ὦ μάταιε. πανταχόθεν γὰρ ὁδὸς
ἡ αὐτὴ εἰς ᾅδου. ὁ αὐτὸς. τοὺς ἀνθρώπους ἔφη τὰ
δέοντα λέγοντας, ἑαυτῶν οὐκ ἀκούειν. ὥσπερ καὶ
τὰς λύρας καλὸν φθεγγομένας, οὐκ αἰσθάνεσθαι.
ὁ αὐτὸς, τὰς εὐμόρφους τῶν ἑταιρῶν, βασιλίσσας
ἐκάλει. πολλοὺς γὰρ πράττειν ἃ ἂν προστάτ-
τωσιν. ὁ αὐτὸς, ἀττικοῦ τινὸς ἐγκαλοῦντος αὐ-
τῷ, διατὶ λακεδαιμονίους μᾶλλον ἐπαινῶν,
παρ᾽ ἐκείνοις οὐ διατρίβει, οὐδὲ γὰρ ἰατρὸς εἶπεν ὑ-
γείας ὢν ποιητικὸς, ἐν τοῖς ὑγιαίνουσι τὴν διατριβὴν
ποιεῖται. ὁ αὐτὸς ἐρωτηθεὶς, πῶς ἄν τις πολι-
τεύηται ἐπὶ ἐξουσίᾳ, ἔφη. καθάπερ ἐν πυρί.
μήτε λίαν ἐγγὺς εἶναι, ἵνα μὴ κατακαῇ, μή-
τε πόρρω, ἵνα μὴ ῥιγώσῃ. ἐν συμποσίῳ
πολλοῦ αὐτῷ οἴνου διδομένου, τοῦτον ἐξέ-

χειμ. ἐπεὶ δέ τινες αὐτὸν ἐμέμφοντο, ἐὰμ
γὰρ αὐτὸν ἔφη ἐκ πίω, οὐ μόνομ αὐτὸς ἀπόλ
λυται, ἀλλὰ κἀμὲ προσαπόλλυσιμ. ὁ αὐτὸς
ἔλεγεν, ὅτι ἐὰν μὲν κύνες αὐτὸν σπαράξω
σιμ, ὑρκανία ἔσαι ἡ ταφή. ἂν δὲ γῦπες, ἀπλέ
ον. ἂν δὲ μηδεὶς προσέλθῃ, ὁ χρόνος καλλί
ωμ τῇ ταφῇ. διὰ τῶν πολυτελεστάτωμ ἡλίου
καὶ ὄμβρου.

ΔΙΟΚΛΕΟΥΣ.

Διοκλῆς, ὁ τοῖς συρρακουσίοις τοὺς νόμους γρά
ψας, πρὸς τοῖς ἄλλοις, καὶ τοῦτο ἔγραψεμ.
ἐάν τις ὅπλον ἔχων εἰς τὴμ ἀγορὰμ παραγένη
ται, θάνατον εἶναι πρόστιμον. οὔτε ἀγνοίᾳ
δούς, οὔτε ἄλλῃ τινὶ περιστάσει συγγνώμην.
προσαγγελθέντων δὲ πολεμίων ἐπὶ τῆς χώ
ρας, ἐξεπορεύετο ξίφος ἔχων. αἰφνιδίου
δὲ στάσεως καὶ ταραχῆς κατὰ τὴν ἀγορὰν γε
νομένης, ἀγνοήσας μετὰ τοῦ ξίφους παρῆμ εἰς
τὴν ἀγοράμ. τῶν δὲ ἰδιωτῶν τινὸς κατανοή
σαντος, καὶ εἰπόντος ὅτι τοὺς ἰδίους αὐτὸς κα
ταλύεις νόμους, ἀνεβόησε, μὰ Δία οὔμενουν.

ἀλλὰ

ἀλλὰ καὶ κυρίους ποιήσω. σπασάμενος τὸ ξίφος, ἑαυτὸν ἀπέκτεινεν.

ΔΙΟΝΥΣΙΟΥ.

Διονυσίου τοῦ συρρακουσίων δυνάστου, πέμψαντος εἰς ὀλυμπίαν καὶ δελφοὺς ἀγάλματα ἐκ χρυσοῦ καὶ ἐλέφαντος δεδημιουργημένα, περιτυχὼν ταῖς κομιζούσαις αὐτὰ ναυσὶν ὁ ἰφικράτης, καὶ κρατήσας αὐτῶν, διεπέμψατο πρὸς τὸν δῆμον ἐπερωτῶν τί χρὴ πράττειν. οἱ δ᾽ ἀθηναῖοι προσέταξαν αὐτῷ, μὴ τὰ τῶν θεῶν ἐξετάζειν. ἀλλὰ σκοπεῖν ὅπως τοὺς στρατιώτας διαθρέψῃ. ἰφικράτης οὖν ὑπακούσας, ἐλαφυροπώλησε τὸν τῶν θεῶν κόσμον τῷ δόγματι τῆς πατρίδος. ὁ δὲ τύραννος ὀργισθεὶς τοῖς ἀθηναίοις, ἔγραψε πρὸς αὐτοὺς, ἐπιστολὴν τοιαύτην. ἘΠΙΣΤΟΛΗ.

» Διονύσιος ἀθηναίων τῇ βουλῇ καὶ τῷ δήμῳ,
» εὖ μὲν πράττειν, οὐκ ἐπιτήδειόν ἐστι γράφειν.
» ἐπεὶ τοὺς θεοὺς κατὰ γῆν καὶ κατὰ θάλατταν
» ἱεροσυλεῖτε. καὶ τὰ ἀγάλματα τὰ εἰς ἀνάθεσιν

,ὑφ᾽ ἡμῶν τοῖς θεοῖς ἀπεσταλμένα, παρελό
,μενοι κατεκόψατε. καὶ περὶ τοὺς μεγίστους
,τῶν θεῶν ἠσεβήκατε. περὶ τὸν ἀπόλλωνα τὸν
,ἐν δελφοῖς, καὶ τὸν δία τὸν ὀλύμπιον.

ὁ αὐτὸς ἐκπεσὼν τῆς ἀρχῆς, εἴ τις αὐτὸν ἠνία
ἐν κορίνθῳ διατρίβοντα, ἔλεγεν. ὡς μακάριοι
οἱ ἐκ παίδων δυστυχεῖς. ὁ αὐτὸς ἔλεγε πολ
λοὺς τρέφειν σοφιστὰς οὐ θαυμάζων ἐκείνους ἀλ
λὰ δι᾽ ἐκείνων θαυμάζεσθαι βουλόμενος. πολυ
ξένου δὲ τοῦ διαλεκτικοῦ φήσαντος αὐτὸν ἐξε
λέγχειν, ἀμέλει τοῖς λόγοις εἶπεν. ἐγὼ δέ σε τοῖς ἔρ
γοις ἐλέγχω. τὰ γὰρ σεαυτοῦ καταλιπὼν, ἐμὲ
καὶ τὰ ἐμὰ θεραπεύεις. ὁ αὐτὸς ἐκπεσὼν
τῆς ἀρχῆς, πρὸς μὲν τὸν εἰπόντα τί σε ὁ πλά
των καὶ φιλοσοφία ὠφέλησε, τὸ τηλικαύτην ἔ
φη τύχης μεταβολὴν ῥᾳδίως ὑπομένειν.

Διονύσιος ὁ πρεσβύτερος, κληρουμένων κατὰ
γράμμα τῶν δημηγορούντων, ὡς ἔλαχε τὸ μ,
πρὸς τὸν εἰπόντα μωρολογεῖς διονύσιε, μοναρχή
σομεν εἶπε. καὶ δημηγορήσας, εὐθὺς ᾑρέθη στρα

τηρὸς ὑπὸ τῶν συρακουσίων. ὁ αὐτὸς, τὸν υἱὸν αἰ
σθόμενος ᾧ τὴν ἀρχὴν ἀπολιπεῖν ἔμελλεν, ἀν
δρὸς ἐλευθέρου διαφθείραντα γύναιον, ἠρώτη
σε μετ᾽ ὀργῆς τί τοιοῦτον αὐτῷ σύνοιδεν. εἰ
πόντος δὲ τοῦ νεανίσκου σὺ γὰρ οὐκ εἶχες πατέρα τύ
ραννον, οὐδὲ σὺ εἶπεν υἱὸν ἕξεις. ἐὰν μὴ παύσῃ
τοιαῦτα ποιῶν. ὁ αὐτὸς, τῆς μητρὸς αὐτοῦ πα
ρήλικος μὲν οὔσης, δοθῆναι δὲ ἀνδρὶ βουλομέ
νης, ἔφη. τοὺς μὲν τῆς πόλεως βιάσασθαι νό
μους, δύνασθαι. τοὺς δὲ τῆς φύσεως, μὴ δύνασ
θαι. ὁ αὐτὸς, πικρῶς τοὺς ἄλλους κακούργους
κολάζων, ἐφείδετο τῶν λωποδυτῶν, ὅπως παύ
σωνται οἱ συρακούσιοι τοῦ δειπνεῖν, καὶ μεθύσκε
σθαι μετ᾽ ἀλλήλων. ὁ αὐτὸς ξένου τινὸς ἰδίᾳ
φράσειν φάσκοντος αὐτῷ, καὶ διδάξειν ὅπως
προείδῃ τοὺς ἐπιβουλεύοντας, ἐκέλευσεν εἰ
πεῖν. ἐπεὶ δὲ προσελθὼν, δὸς εἶπε μοι τάλαν
τον ἵνα δόξῃς ἀκηκοέναι τὰ σημεῖα τῶν ἐπιβου
λευόντων, ἔδωκε προσποιούμενος ἀκηκοέ
ναι. καὶ ἐθαύμαζε τὴν μέθοδον τοῦ ἀνθρώπου.

τῳ. καὶ μηκέτι ποιοῦντα τὸ χρήσιμον ἄχρηστον.

## ἘΜΠΕΔΟΚΛΈΟΥΣ.

Ἐμπεδοκλῆς μέτωνος ὁ φυσικὸς, πρὸς τὸν λέγοντα ὅτι οὐδὲ ἕνα σοφὸν εὑρεῖν δύναμαι, κατὰ λόγον εἶπε. τὸν γὰρ ζητοῦντα σοφὸν, αὐτὸν πρότερον εἶναι δεῖ σοφόν. ὁ αὐτὸς ἐρωτηθεὶς, διατὶ σφόδρα ἀγανακτεῖ κακῶς ἀκούων, ἔφη. ὅτι οὐδὲ ἐπαινούμενος αἰσθήσομαι, εἰ μὴ κακῶς ἀκούων ἀχθήσομαι. ὁ αὐτὸς εἶπεν, ἀκραγαντῖνοι τρυφῶσι μὲν, ὡς αὔριον ἀποθανούμενοι. οἰκίας δὲ κατασκευάζονται, ὡς πάντα τὸν χρόνον βιωσόμενοι. ὁ αὐτὸς, ἐτησίων ποτὲ σφοδρῶς πνευσάντων ὥστε τοὺς καρποὺς λυμῆναι. κελεύσας ὄνους ἐκδαρῆναι καὶ ἀσκοὺς ποιῆσαι, περὶ τοὺς λόφους καὶ τὰς ἀκρωρείας διέτεινε, πρὸς τὸ συλλαβεῖν τὸ πμεῦμα. ληξάντων δὲ, κωλυσαμέμας ἐκλήθη. ἀνεμοκοῖται δὲ, γέμος ἐν κορίνθῳ οἱ ἀνέμους κοιμίζοντες. εἰς ὅπερ δεξιῶς λέγεται διακεῖσθαι καὶ ἐμπεδοκλῆς. οὗ καὶ ἡ εἰς αὐτὸ τέχνη ἱστόρηται.

ὁ αὐτὸς, πρὸς τὸν πυθόμενον εἰ σχολάζοι, μή
δέποτε εἶπεν ἐμοὶ τοῦτο σύμβαιη. ὁ αὐ
τὸς, ἀκούσας δύο νεανίσκους πολλὰ βλάσφη
μα περὶ αὐτοῦ καὶ τῆς τυραννίδος εἰρηκέναι,
ἀμφοτέρους ἐκάλεσεν ἐπὶ δεῖπνον. ὁρῶν δὲ
τὸν μὲν, παροινοῦντα. καὶ ληροῦντα πολλά.
τὸν δὲ, σπανίως καὶ μετ' εὐλαβείας ταῖς πό
σεσι χρώμενον, ἐκεῖνον μὲν ἀπέλυσεν ὡς
φύσει παροινήσαντα. καὶ διὰ μέθην κακολογή
σαντα. τοῦτον δὲ ἀνεῖλεν ὡς δύσνουν. καὶ πολέ
μιον ἐκ προαιρέσεως. ὁ αὐτὸς, αἰτιωμένων
τινῶν ὅτι τιμᾷ καὶ προάγεται πονηρὸν ἄνθρωπον
καὶ δυσχεραινόμενον ὑπὸ τῶν πολιτῶν, ἀλλὰ καὶ
βούλομαι εἶπεν εἶναι, τοῦ ἐμοῦ μᾶλλον μισού
μενον. ὁ αὐτὸς ἀκούσας τινὰ τῶν πολιτῶν χρυ
σίον ἔχειν οἴκοι κατορωρυγμένον, ἐκέλευσεν
ἀνενεγκεῖν πρὸς αὐτόν. ἐπεὶ δὲ παρακλέψας
ὀλίγον ὁ ἄνθρωπος, καὶ μεταστὰς εἰς ἑτέραν πόλιν ἐω
νήσατο χωρίον, μεταπεμψάμενος αὐτὸν, ἐκέ
λευσε πᾶν ἀπολαβεῖν κεχρημένον τῷ πλού

ἐμπεδοκλῆς καὶ δίκας φησὶ διδόναι τοὺς δαίμο
νας, ὧν ἐξαμάρτωσι, καὶ πλημμελήσωσιν.
Αἰθέριον μὲν γάρ σφε μένος πόντονδε διώκει.
› πόντος δ' ἐς χθονὸς οὖδας ἀπέπτυσε. γαῖα δ'
› ἐς αὔθις ἠελίου ἀκάμαντος. ὁ δ' αἰθέρος ἔμβα
› λε δίναις. Ἄλλος δ' ἐξ ἄλλου δέχεται. στυ
› γέουσι δὲ πάντες. Ἄχρις οὗ κολασθέντες οὕ
› τω καὶ καθαρθέντες αὖθις, τὴν κατὰ φύ
σιν χώραν καὶ τάξιν ἀπολάβωσιν.
ἐμπεδοκλῆς τοῦ μέτωνος τάδε δοκεῖ. στοιχεῖα μὲν
εἶναι τέτταρα. πῦρ. ὕδωρ. γῆν. καὶ ἀέρα· φιλίαν τε ᾗ
συγκρίνεται. καὶ νεῖκος ᾧ διακρίνεται. φησὶ δ' οὕ
τω. Ζεὺς ἀργής. ἥρη τε φερέσβιος. ἠδ' ἀϊδωνεύς. (τω.
νῆστις δακρύοισα τ' ἐπικρούνωμα βρότειον.
Δία μὲν, τὸ πῦρ λέγων. ἥρην δὲ, τὴν γῆν. ἀϊδωνέα
δὲ, τὸν ἀέρα. νῆστιν δὲ, τὸ ὕδωρ. καὶ ταῦτα φησὶν
ἀλλαττόμενα διαμπερὲς, οὐδαμοῦ λήγει. ὡς ἀϊ
δίου τῆς τοιαύτης διακοσμήσεως οὔσης. ἐπιφέ
› ρει γοῦν. Ἄλλοτε μὲν φιλότητι συνερχόμεν'
› εἰς ἓν ἅπαντα. Ἄλλο τε δ' αὖ, δίχ' ἕκαστα φο
› ρεύμενα νείκεος ἔχθει.

## ΕΠΙΚΟΥΡΟΥ.

Ἐπίκουρος μάλιστα τῆς ἀληθείας προτιμήσας τὴν ἡδονήν, πρόληψιμ εἶναι διανοίας τὴν πίστιν ὑπελάμβανε. πρόληψιμ δὲ ἀποδίδωσιμ ἐπιβολὴν ἐπί τι ἐναργές. καὶ ἐπὶ τὴν ἐναργῆ τοῦ πράγματος ἐπίνοιαν. μὴ δύνασθαι δὲ μηδένα, μήτε ζητῆσαι, μήτε ἀπορῆσαι. μὴ δὲ μὴμ δοξάσαι, ἀλλ' οὐδὲ ἐλέγξαι, χωρὶς προλήψεως.

Ὁ αὐτὸς τὸ πρῶτομ οἰκεῖον ἔλεγεμ εἶναι τὴν ἡδονήμ. ἕνεκα γὰρ τῆς ἡδομῆς, παρελθοῦσα φησὶν ἡ ἀρετή, ἡδομὴν ἐποίησεν.

## ΕΠΙΚΤΗΤΟΥ.

Ἐπίκτητος εἶπεμ. οἱ μὲν κόρακες, τῶν τετελευτηκότων τοὺς ὀφθαλμοὺς λυμαίνονται, ὅταν οὐδὲμ αὐτῶν ἐστὶ χρεία. οἱ δὲ κόλακες, τῶν ζώντων τὰς ψυχὰς διαφθείρουσι. καὶ τὰ ταύτης ὄμματα τυφλώττουσιν. ὁ αὐτὸς ἔφη, προῖκα μηδὲν γίγνεσθαι. ὁ αὐτὸς εἶπεν, ἐπὶ μηδενὶ ἐπαρθῇς ἀλλοτρίῳ προτερήματι. εἰ ὁ ἵππος ἔλεγεν ἐπαιρόμενος ὅτι καλός εἰμι, ἀνεκτὸν ἦν. σὺ δὲ

ὅταν λέγῃς, ὅτι ἵππον καλὸν ἔχω, ἴσως ὅτι ἐφ᾿ ἵππῳ ἀγαθῷ μέγα φρονεῖς. τί οὖν ἐστὶ σόν; χρῆσις φαντασιῶν. ὡς ὅταν κατὰ φύσιν ἔχῃς, τότε ἐπάρθητι. τότε γὰρ ἐπὶ τῷ σῷ πλεονεκτήματι ἐπαρθήσῃ. ὁ αὐτὸς ἔφη, ζητῶν τὴν ἀλήθειαν, οὐ ζητήσεις τὸ ἐκ παντὸς τρόπου νικᾶν. καὶ εὑρὼν τὴν ἀλήθειαν, ἕξεις τὸ μὴ νικᾶσθαι.

ὁ αὐτὸς εἶπεν. ὥσπερ οἱ ἐπὶ τῶν λιμένων πυρσοὶ δι᾿ ὀλίγων φρυγάνων πολλὴν ἀνάψαντες φλόγα, ταῖς ἀλωμέναις ἀνὰ τὸ πέλαγος ναυσὶν ἱκανὴν ἐργάζονται βοήθειαν, οὕτω καὶ ἀνὴρ λαμπρὸς ἐν πόλει χειμαζομένῃ, αὐτὸς ὀλίγοις ἀρκούμενος, μεγάλα τοὺς πολίτας εὐεργετεῖ.

ΕΠΑΜΙΝΩΝΔΟΥ.

Ἐπαμιμώνδας ὁ θηβαῖος, ὁ πάντων τῶν ἐκεῖσε στρατηγῶν ἐπισημότερος, εἰς ἐκκλησίαν κληθεὶς, παρῃτήσατο προσελθεῖν κατ᾿ ἐκείνην τὴν ἡμέραν. ἐπειδὴ τὸ ἱμάτιον αὐτοῦ πλυνόμενον ἐτύγχανε, καὶ ἕτερον περιθέσθαι οὐκ εἶχεν. ὁ αὐτὸς ἔλεγε, τὸν ἐν πολέμῳ θάνατον εἶναι κάλλιστον.

ὁ αὐτὸς οὕτως ἦμ εὐτελὴς περὶ τὴν δίαιταν, ὥστε κληθεὶς ἐπὶ δεῖπνον ὑπὸ γείτονος, εὑρὼν πεμμάτων. καὶ ὄψων. καὶ μύρων παρασκευήν, ἀπῆλθεν εὐθύς. εἰπὼν ἐγώ σε θύειν ᾤμην. οὐχ ὑβρίζειν. ὁ αὐτὸς ἄνδρα φαῦλομ ἐξημαρτηκότα τὶ τῶμ μετρίωμ, τοῦ μὲμ πελοπίδου παρακαλοῦμτος οὐκ ἀφῆκε. τῆς δ' ἐρωμένης δεηθείσης, ἀφῆκεμ. εἰπὼν ὅτι τοιαῦτα πρέπει λαμβάνειν ἑταιριδίοις. ἀλλὰ μὴ στρατηγοῖς.
ὁ αὐτὸς προσάγων τοῖς πολεμίοις βροντῆς γενομένης, καὶ τῶν περὶ αὐτὸν πυνθανομένων τί σημαίνειν οἴεται τὸν θεὸν, ἐμβεβροντῆσθαι τοὺς πολεμίους εἶπεν, ὅτι τοιούτωμ χωρίωμ ἐγγὺς ὄμτων, ἐμ τοιούτοις στρατοπεδεύουσιν.
ὁ αὐτὸς εἰώθει φαίνεσθαι τὸμ ἄλλομ χρόνομ ἀληλιμμένος τὸ σῶμα. καὶ φαιδρὸς τῷ προσώπῳ. μετὰ δὲ τὸ νικῆσαι τοὺς λακεδαιμονίους ἐν λεύκτροις, τῇ ὑστεραίᾳ προῆλθεμ αὐχμηρὸς καὶ ταπεινός. τῶν δὲ φίλωμ ἐρωτώντων, μή τι λυπηρὸμ αὐτῷ συμπέπτωκεν, οὐδὲν εἶπεν. ἀλλ' ἐχθὲς

ᾐσθόμην ἐμαυτοῦ μείζονα ἢ καλῶς ἔχει φρο-
νήσαντος. διὸ σήμερον κολάζω τὴν ἀμε-
τρίαν τῆς χαρᾶς. ὁ αὐτὸς πρὸς τοὺς σπαρ-
τιάτας, πολλὰ καὶ μεγάλα τῶν θηβαίων κα-
τηγορήσαντας, οὗτοι μέντοι εἶπεν ὑμᾶς βρα-
χυλογοῦντας ἔπαυσαν. ὁ αὐτὸς ἐρωτηθεὶς,
πότερον ἑαυτὸν ἡγεῖται βελτίονα στρατηγὸν,
ἢ χαβρίαν, ἢ ἰφικράτην, δύσκριτον εἶπεν ἕ-
ως ζῶμεν. ἰάσονος τοῦ θετταλῶν μονάρ-
χου, συμμάχου μὲν εἰς θήβας παραγενομέ-
νου, δισχιλίους δὲ χρυσοῦς τῷ ἐπαμινώνδᾳ
πέμψαντος ἰσχυρῶς πενομένῳ, τὸ μὲν χρυσί-
ον οὐκ ἔλαβε. τὸν δὲ ἰάσονα θεασάμενος, ἀδί-
κων ἔφη χειρῶν ἄρχεις. αὐτὸς δὲ πεντήκοντα
δραχμὰς δανεισάμενος παρά τινος τῶν πολι-
τῶν ἐφόδιον τῆς στρατιᾶς, ἐνέβαλεν εἰς πελοπόν-
νησον. ὁ αὐτὸς ἐρωτηθεὶς, διὰ τί τῶν πολιτῶν συμ-
ποσιαζόντων καὶ εὐθυμουμένων ἐν ταῖς ἑορταῖς, αὐ-
τὸς μόνος σχολάζει καὶ ἐν ἐκείναις. ἔν τε τῷ κα-
θαίρειν τὰ ὅπλα, καὶ ἐν ταῖς ἄλλαις πολιτικαῖς

χρείας, εἶπεν. ἐγὼ μὲν νήφω καὶ ἀγρυπνῶ, ὅ-
πως ἐξῇ τοῖς ἄλλοις μεθύειν καὶ καθεύδειν. ὁ αὐ-
τὸς ἐρωτηθεὶς τί ὄνειδος ὁ μὴ γήμας, τὸ μὴ ὀκνεῖν
εἶπεν ὑπὲρ τῆς πατρίδος ἀποθνήσκειν. ὁ αὐτὸς ἡ-
ρωϊκῶς ἐν τῇ πρὸς λακεδαιμονίους μάχῃ ἀγω-
νισάμενος, καιρίαν ἔλαβε πληγὴν εἰς τὸν θώρα-
κα. κλασθέντος δὲ τοῦ δόρατος, καὶ τοῦ σιδήρου κα-
ταλειφθέντος ἐν τῷ σώματι, παραχρῆμα ἔπε-
σε καταχυθεὶς ὑπὸ τῆς πληγῆς. περὶ δὲ τοῦ
σώματος ἐμπεσούσης φιλοτιμίας, καὶ πολ-
λῶν ἐξ ἀμφοτέρων ἀναιρεθέντων, μόλις οἱ θη-
βαῖοι τῇ ῥώμῃ τοῦ σώματος προέχοντες, κατε-
πόνησαν τοὺς λακεδαιμονίους. ἐπὶ μὲν οὖν
χρόνον τινὰ περὶ τῆς τῶν νεκρῶν ἀναιρέσεως,
ἑκάτεροι διεπρεσβεύσαντο, ἵνα μὴ δόξωσιν
ἐκχωρεῖν τῶν πρωτείων. μετὰ δὲ ταῦτα, τῶν
λακεδαιμονίων πρώτων ἐπικηρυκευσα-
μένων περὶ τῆς τῶν νεκρῶν ἀναιρέσεως, ἀμφό-
τεροι τοὺς ἰδίους ἔθαψαν. ἐπαμινώνδας
δὲ ἔτι ζῶν, εἰς τὴν παρεμβολὴν ἀπηνέχθη.

καὶ τῶν συγκληθέντων ἰατρῶν ἀποφηναμένων, ὅτι πάντως ὅταν ἐκ τοῦ θώρακος ἐξενεχθῇ τὸ δόρυ, συμβήσεται καὶ τὸν θάνατον ἐπακολουθῆσαι, εὐψυχοτάτην τοῦ βίου καταστροφὴν ἐποιήσατο. πρῶτον μὲν γὰρ τὸν ὑπασπιστὴν προσκαλεσάμενος, ἐπηρώτησεν εἰ διασέσωκε τὴν ἀσπίδα. τοῦ δὲ φήσαντος καὶ θέντος αὐτὴν πρὸ τῆς ὁράσεως. πάλιν ἐπηρώτησε πότεροι νενικήκασιν, ἀποφαινομένου δὲ τοῦ παιδὸς, ὅτι βοιωτοὶ νενικήκασιν, ὥρα φησὶν ἐστὶ τελευτᾶν. καὶ προσέταξεν ἐκσπάσαι τὸ δόρυ. ἀναβοησάντων δὲ τῶν παρόντων φίλων, καί τινος εἰπόντος ὅτι τελευτᾷς ἄτεκνος ἐπαμινώνδα, καὶ δακρύσαντος, μὰ δία μὲν φησιν. ἀλλὰ καταλείπω θυγατέρας, τήν τε ἐν λεύκτροις νίκην, καὶ τὴν ἐν μαντινείᾳ. καὶ τοῦ δόρατος ἐξαιρεθέντος, ἄνευ πάσης ταραχῆς ἐξέπνευσεν.

### ΕΡΑΤΟΣΘΕΝΟΥΣ.

ἐρατοσθένης παίζων πρὸς τὸν μῦθον, καὶ τὸ ἀ

πίθαμον τῆς ὀδυσσέως πλάνης, τότε ἂν εὑ-
ρεῖν τινὰ ἔλεγε ποῦ πεπλάνηται ὀδυσσεὺς, ὅ-
ταν εὕρηται τὸν σκυτέα τὸν συρράψαντα τὸν τῶν
ἀνέμων ἀσκόν. ὁ αὐτὸς ἔφη. τῆς ἡλικίας
τὸ μὲν ἀκμάζον, ἔαρ εἶναι. τὸ δὲ κατὰ ἀκμὴν,
θέρος. καὶ φθινόπωρον. χειμῶνα δὲ τὸ γῆρας.

## ΕΡΑΤΟΣΘΕΝΟΥΣ ΕΓΚΩΜΙΟΝ, ΕΙΣ ΤΟΝ ΕΡΩΤΑ.

ἔρως σκυλεύσας καὶ διαρπάσας ἅμα,
ἐξ οὐρανοῦ πρὶν καὶ θεῶν συνεδρίου,
τοῦ λητοΐδου τόξον. ἄρεος κράνος.
ἡρακλέος ῥόπαλον. ἑρμοῦ βλατίον.
σεισίχθονος δὲ, τὸ τρικάρχαρον δόρυ.
καὶ τὸν κεραυνὸν τοῦ διὸς τὸν παμφάγον.
διὸ κἀνθρώποις μάχεται τοῖς ἀθλίοις.
οὐ μέμψις εἴκειν, καὶ τὸν αὐχένα κλίνειν.
ἐπεὶ θεοὺς ἔδειξε συγκεκυφότας.
ἔρως γὰρ ἀλκὴν ἀνυπόστατον φέρει.
γέρων μέν ἐστι κἂν σοφίζεται βρέφος.
ὀργίζεται δὲ, κἂν δοκῇ γελῶν τάχα.

γελῶν δὲ πέμπει τῶν βελῶν τὰς ἐντάσεις.
τόξον γάρ ἐστιν εὐφυῶς ἐξημμένος.
μέσης κατ' αὐτῆς εὐστοχεῖ τῆς καρδίας.
παίζων, φλογίζει. πῦρ γὰρ εἰς χεῖρας φέρει.
πιμπρᾶ τ' ὀστᾶ. συμφρύγει δὲ τὰς φρένας.
πεζὸς βαδίζει, καὶ πτερούμενος τρέχει. κυκλοῖ
δὲ πάντα, καὶ φθάνει πᾶσαν φύσιν, νικῶν.
πτερωτῶν. κτηνῶν. θηρίων γένη. τίς ἂν ἐξισχύ-
σειε φυγεῖν τὰ βέλη τούτου τὰ πικρά. καὶ φθι-
σιμβροτοφθόρα; ΖΑΡΆΤΟΥ.

ζαράτας, ὁ τοῦ πυθαγόρου διδάσκαλος, τὴν
δυάδα ἔλεγε μητέρα. τὸ δὲ ἓν, πατέρα. διὸ
καὶ βελτίονας εἶναι τῶν ἀριθμῶν, ὅσοι τῇ μονά-
δι προσεοίκασι. ΖΑΛΕΎΚΟΥ.

ζάλευκος ὁ τῶν λοκρῶν νομοθέτης, τοὺς νόμους τοῖς
ἀραχνίοις εἶπεν ὁμοίους εἶναι. καὶ γὰρ εἰς ἐκεῖνα
ἐὰν ἐμπέσῃ μυῖα, ἢ κώνωψ, κατέχεται. ἐὰν
δὲ σφὴξ, ἢ μέλιττα, διαρρήξασα ἀφίπταται. οὕ-
τω καὶ ἐν τοῖς νόμοις. ἐὰν ἐμπέσῃ πένης, συνέ-
χεται. ἐὰν δὲ πλούσιος ἢ δυνατὸς λέγειν,
διαρρήξας ἀποτρέχει.

ΤΟΥ͂ ΑΥ̓ΤΟΥ͂, ΠΡΟΟΙ͂ΜΙΟΝ ΝΟ͂ΜΩΝ.

Τοὺς κατοικοῦντας τὴν πόλιμ καὶ τὴμ χώραν πάντας πρῶτον πεπεῖσθαι χρὴ καὶ νομίζειμ θεοὺς εἶναι. καὶ ἀναβλέποντας ἐς οὐρανὸμ, καὶ τὸν κόσμομ, καὶ τὴμ ἐν αὐτοῖς διακόσμησιν. καὶ τάξιν. οὐ γὰρ τύχης. οὐδ' ἀνθρώπων εἶναι δημιουργήματα. σέβεσθαι δὲ τούτους καὶ τιμᾶν ὡς αἰτίους ὄντας ἁπάντωμ ἡμῖμ ἀγαθῶν τῶν κατὰ λόγον γιγνομένωμ. ἕκαστον οὖν ἔχειν, καὶ παρασκευάζειν δεῖ τὴν αὑτοῦ ψυχὴν, πάντων τῶν κακῶν καθαράν, ὡς οὐ τιμᾶται θεὸς ὑπ' ἀνθρώπου φαύλου. οὐδὲ θεραπεύεται δαπάναις. οὐδὲ τραγῳδίαις τῶν ἀναλισκομένωμ, καθάπερ μοχθηρὸς ἄνθρωπος. ἀλλ' ἀρετῇ καὶ προαιρέσει τῶν καλῶμ ἔργων καὶ δικαίων. διὸ ἕκαστομ εἰς δύναμιμ ἀγαθὸν εἶναι, καὶ πράξει, καὶ προαιρέσει, τὸν μέλλοντα ἔσεσθαι θεοφιλῆ. καὶ μὴ φοβεῖσθαι τὰς εἰς χρήματα ζημίας, μᾶλλον τῶν εἰς αἰσχύνην ἀγόντων. καὶ πολίτην ἀμείνονα ὀνομάζειμ, τὸμ τῆς οὐσίαμ προϊέμενον, μᾶλλομ ἢ τοῦ καλοῦ καὶ δικαίου. ὅσοις

δὲ μὴ ῥάδιομ πρὸς ταῦτα τὴμ ὁρμὴμ ποιεῖσ-
θαι. τὴν δὲ ψυχὴν ἔχουσιν εὐκίνητομ πρὸς
ἀδικίαν, ὧδ' ἡμῖμ παρηγγέλθω πᾶσι τοῖς τοιού-
τοις πολίταις καὶ πολίτισι καὶ συνοίκοις. μεμνῆ-
σθαι θεῶν ὡς ὄντων. καὶ δίκας ἐπιπεμπόμ-
των τοῖς ἀδίκοις. καὶ τίθεσθαι πρὸ ὀμμάτων
τὸν καιρὸμ τοῦτον, ἐμ ᾧ γίνεται τὸ τέλος ἑκά-
στῳ τῆς ἀπαλλαγῆς τοῦ ζῆν. πᾶσι γὰρ ἐμπίπτει
μεταμέλεια, τοῖς μέλλουσι τελευτᾶμ. με-
μνημένοις ὧν ἠδικήκασι. καὶ ὁρμὴ τοῦ βούλε-
σθαι πάντα πεπρᾶχθαι δικαίως αὐτοῖς. διὸ δεῖ
ἕκαστομ παρ' ἑκάστην πρᾶξιν ἀεὶ συνοικειοῦν
τὸν καιρὸμ τοῦτομ ὡς δὴ παρόντα. οὕτω γὰρ
μάλιστα τοῦ καλοῦ, καὶ τοῦ δικαίου φροντιεῖν.

ΖΗΝΩΝΟΣ.

Ζήνων Μνασέου Κιτιεὺς ὁ στωϊκός, τὰς τῶν δια-
λεκτικῶμ, τέχμας εἴκαζε τοῖς δικαίοις μέτροις.
οὐ πυρόν, οὐδ' ἄλλο τι τῶν σπουδαίωμ μετροῦ-
σιμ. ἀλλ' ἄχυρα καὶ κόπρια. ὁ αὐτός, πρὸς τοὺς
ἀπολογουμένους ὑπὲρ τῆς αὐτῶν ἀσωτίας. καὶ

λέγοντας

λέγοντας ἐκ πολλοῦ περιόντος ἀναλίσκειν, ἔλεγεν. ἦ που καὶ τοῖς μαγείροις συγγνώσεσθε, ἐὰμ ἁλμυρὰ λέγωσι πεποιηκέναι τὰ ὄψα, ὅτι πλῆθος ἁλῶν αὐτοῖς ὑπῆρχεν. ὁ αὐτὸς, τοὺς σοφοὺς μόνους ἐλευθέρους ἔφασκεν εἶναι. τοὺς δὲ φαύλους δούλους. εἶναι γὰρ τὴν ἐλευθερίαν ἐξουσίαν αὐτοπραγίας. τὴν δὲ δουλείαν, στέρησιν αὐτοπραγίας. ὁ αὐτὸς ἔφη κράτητα ἀναγινώσκειν, ἐν σκυτείῳ καθήμενον, τὸν ἀριστοτέλους προτρεπτικὸν, ὃν ἔγραψε πρὸς θεμίσωνα τὸν κυπρίων βασιλέα. λέγων ὅτι οὐδενὶ πλείω ἀγαθὰ ὑπάρχει πρὸς τὸ φιλοσοφῆσαι. πλοῦτόμ τε γὰρ πλεῖστον αὐτὸμ ἔχειν, ὥστε δαπανᾶν εἰς ταῦτα. ἔτι δὲ δόξαν ὑπάρχειν αὐτῷ. ἀναγινώσκοντος δὲ αὐτοῦ, τὸμ σκυτέα ἔφη προσέχειν ἅμα ῥάπτοντα. καὶ τὸν κράτητα εἰπεῖν. ἐγώ μοι δοκῶ ὦ φιλίσκε, γράφειν εἰς σὲ προτρεπτικόν. πλείω γὰρ ὁρῶ σοι ὑπάρχοντα πρὸς τὸ φιλοσοφῆσαι, ὧν ἔγραψεν ἀριστοτέλης. ὁ αὐτὸς ἐρωτη-

θεὶς ὑπό τινος τῶν γνωρίμων, πῶς ἂν μηδὲμ ἄδικον πράττοιμεμ, εἶπεν. ἐὰν διαπαντὸς ὑπολαμβάνητέ με συμπαρεῖναι ὑμῖν. ὁ αὐτὸς ἐρωτηθεὶς εἰ δύναται λαμβάνειν θεοὺς ἄμθρωπος ἀδικῶν, ἀλλ' οὐδὲ διανοούμενος ἔφη. ὁ αὐτὸς περιπεσὼν ναυαγίῳ, καὶ τὰ ὄντα ἀπολέσας, οὐδὲν ἀγενὲς ἐφθέγξατο. ἀλλ' εὖ γε εἶπεν ὦ τύχη. ὅτι συνέστειλας ἡμᾶς εἰς τὸ τριβώνιομ τοῦτο. ὁ αὐτὸς ἔλεγε, μὴ δεῖν ζητεῖν τοὺς ἀμθρώπους οἵ τινες ἐκ μεγάλης πόλεως εἰσίν, ἀλλ' εἰ μεγάλης πόλεως ἄξιοι. ζήνωνι κητιεῖ τῷ μνασέου, μετ' οὐ πολὺμ χρόνον, ἐπειδὴ παρέβαλε κράτητι, δίδωσιν αὐτῷ κράτης χύτραν φακῆς διὰ τοῦ κεραμεικοῦ φέρειν, ἐπεὶ δὲ εἶδεμ αὐτὸν αἰδούμενομ, καὶ περικαλύπτοντα, παίσας τῇ βακτηρίᾳ, κατάγνυσι τὴν χύτραμ. φεύγοντος δὲ αὐτοῦ, καὶ τῆς φακῆς κατὰ τῶμ σκελῶν ῥεούσης, φησὶμ ὁ κράτης, τί φεύγεις φοινικίδιομ. οὐδὲν δεινὸν πέπονθας. ὁ αὐτὸς δημοχάρου τοῦ λάχητος ἀσπασαμένου αὐτόν, καὶ φάσκοντος λέγειν καὶ γράφειν ὧμ ἂν

χρείαν ἔχει πρὸς ἀντίγονον, ὡς ἐκείνου πάν
τα παρέξομτος, ἀκούσας οὐκέτ' αὐτῷ συμ
διέτριψε. λέγεται δὲ καὶ μετὰ τὴν τελευ
τὴμ τοῦ ζήνωνος εἰπεῖμ τὸν ἀντίγονον, οἷον εἴη θέ
ατρον ἀπολωλεκώς. ἐρωτηθεὶς δὲ διατὶ θαυ
μάζει αὐτοῦ, ὅτι ἔφη πολλῶν καὶ μεγάλωμ αὐ
τῷ διδομένωμ ὑπ' ἐμοῦ, οὐδὲ πώποτε ἐχαυ
νώθη, οὐδὲ ταπεινὸς ὤφθη. ὁ αὐτὸς, ἀρίστωνος
τοῦ μαθητοῦ πολλὰ διαλεγομένου οὐκ εὐφυῶς, ἔ
νια δὲ καὶ προπετῶς καὶ θρασέως, ἀδύνατομ εἶ
πεν, εἰ μή σε ὁ πατὴρ μεθύων ἐγέννησεν. ὅθεν
αὐτὸμ καὶ λάλον ἀπεκάλει βραχυλόγος ὤμ.
ὁ αὐτὸς μειρακίου τινὸς περιεργότερον παρὰ τὴν
ἡλικίαμ ἐρωτῶντος ζητήματα, προσήγαγε πρὸς
τὸ κάτοπτρον. καὶ ἐκέλευσεν ἐμβλέψαι. ἔπει
τ' ἠρώτησεν εἰ δοκεῖ αὐτῷ ἁρμόττοντα εἶναι ὄψει
τοιαύτῃ τοιαῦτα ζητήματα. εἰπόντος δέ τινος
ὅτι μικρὰ αὐτῷ δοκεῖ τὰ λογάρια τῶν φιλοσό
φωμ, λέγεις εἶπεν ἀληθῆ. δεῖ μέντοι καὶ τὰς συλ
λαβὰς αὐτῶν εἰ δυνατὸν βραχείας εἶναι.

ὁ αὐτὸς πρὸς τὸν φάσκοντα ὡς τὰ πολλὰ αὐ-
τῷ ἀντισθένης οὐκ ἀρέσκει, ἠρώτησεν, εἴ τινα
καὶ καλλὰ ἔχειν αὐτῷ δοκεῖ. τοῦ δ' οὐκ εἰδέναι
φήσαντος, εἶτ' οὐκ αἰσχύνῃ ἔφη, εἰ μέν τι κα-
κὸν ἦν εἰρημένον ὑπ' ἀντισθένους, τοῦτ' ἐκλε-
γόμενος καὶ μνημονεύων. εἰ δέ τι καλὸν, οὐκ
ἐπιβαλλόμενος κατέχειν; νεανίσκου πολ-
λὰ λαλοῦντος, ἔφη. τὰ ὦτά σου εἰς τὴν γλῶτταν
συνερρύηκεν. πάντων ἔλεγεν ἀπρεπέστερον
εἶναι τὸν τῦφον. καὶ μάλιστα ἐπὶ τῶν νέων.
ὧν δὲ ἔλεγε τοὺς νέους, πάσῃ κοσμιότητι. καὶ
πορείᾳ. καὶ σχήματι. καὶ περιβολῇ. τὸ κάλ-
λος εἶπε τῆς φωνῆς ἄνθος εἶναι. οἱ δὲ, τοῦ κάλ-
λους τὴν φωνήν. ὁ αὐτὸς ἕλκοντος αὐτὸν
κράτητος τοῦ ἱματίου ἀπὸ στίλπωνος παρι-
όντα, εἶπεν. ὦ κράτης, λαβὴ φιλοσόφων ἐστὶν
ἐπιδέξιος, ἡ διὰ τῶν ὤτων. πείσας οὖν ἕλ-
κε τούτων, εἰ δέ με βιάζῃ, τὸ μὲν σῶμα. παρὰ
σοὶ ἔσται. ἡ ψυχὴ δὲ παρὰ στίλπωνι. οὕτω φη-
σὶν ἀπολλόδωρος ὁ τύριος. ὁ αὐτὸς ἐρωτη-

θεὶς διατί αὐστηρὸς ὢν ἐν τῷ πότῳ διαχεῖ
ται, ἔφη. καὶ οἱ θέρμοι πικροὶ ὄντες, βρεχόμε
νοι γλυκαίνονται. Ἔλεγέ τε, κρεῖττον εἶναι τοῖς
ποσὶν ὀλισθεῖν, ἢ τῇ γλώττῃ. ἐρωτηθεὶς τί ἐστι
φίλος, εἶπεν ἄλλος ἐγώ. Δοῦλον ἐπὶ κλοπῇ
φασὶν ἐμαστίγου. τοῦ δ' εἰπόντος εἵμαρτό μοι
κλέψαι, ἔφη καὶ δαρῆναι. πρὸς τὸ φλυαροῦν
μειράκιον, διὰ τοῦτο εἶπε δύο ὦτα ἔχομεν.
στόμα δὲ ἕν, ἵνα πλείω μὲν ἀκούωμεν, ἧτ
τον δὲ λέγωμεν. ἐν συμποσίῳ κατακείμε
νος σιγῇ, τὴν αἰτίαν ἠρωτήθη. ἔφη οὖν τῷ ἐγ
καλέσαντι ἀπαγγεῖλαι πρὸς τὸν βασιλέα, ὅ
τι παρῆν τις σιωπᾶν ἐπιστάμενος.

Ἄλλως. Ζήνων, ἀντιγόνου πρέσβεις ἀθήνα
ζε πέμψαντος, κληθεὶς ὑπ' αὐτῶν σὺν ἄλλοις
φιλοσόφοις ἐπὶ δεῖπνον, κἀκείνων παρὰ πό
τον σπευδόντων ἐπιδείκνυσθαι τὴν αὐτῶν
ἕξιν, αὐτὸς ἐσίγα. τῶν δὲ πρέσβεων ζητούντων
τί ἀπαγγέλωσι περὶ αὐτοῦ πρὸς ἀντίγονον,
τοῦτ' αὐτὸ ἔφη ὃ βλέπετε. δυσκρατέστατον γὰρ

ὁ λόγος. ὁ αὐτὸς, οὐδενὸς ἡμᾶς οὕτω πένεσθαι,
ὡς χρόνου. βραχὺς γὰρ ὄντως ὁ βίος. ἡ δὲ τέχνη
μακρή. καὶ μᾶλλον ἡ τὰς τῆς ψυχῆς νόσους ἰᾶ-
σθαι δυναμένη. τῶν τινὸς ἐν ἀκαδημίᾳ νεανί-
σκων, περὶ ἐπιτηδεύματος διελέγετο ἀφρόνων.
ὁ δὲ ζήνων ἐὰν μὴ τὴν γλῶτταν ἔφη εἰς νοῦν ἀ-
ποβρέξας διαλέγῃ, πολὺ πλείω ἔτι καὶ ἐν τοῖς
λόγοις πλημμελήσεις. ζήνων τῆς ναυκληρί-
ας αὐτῷ συντριβείσης, πυθόμενος εἶπεν. εὖγε
ὦ τύχη ποιεῖς, εἰς τὸν τρίβωνα ἡμᾶς συνελαύνου-
σα. ὁ αὐτὸς ἰδὼν τινὰ τῶν γνωρίμων ὑπὸ τοῦ ἀ-
γροῦ περισπώμενον, εἶπεν. ἐὰν μὴ σὺ τοῦτον
ἀπολέσῃς, οὗτος σε ἀπολέσει. ΗΡΩΔΟΥ.
Ἡρώδης ἀθηναῖος, σοφιστὴς ὢν τῶν κυρίως. οὐ τῶν φι-
λοσοφησάντων ἐν δόξῃ τοῦ σοφιστεῦσαι, ἔλεγεν
ὡς προσήκει τὸν ὀρθῶς πλούτῳ χρώμενον, τοῖς
μὲν δεομένοις ἐπαρκεῖν, ἵνα μὴ δέωνται. τοῖς
δὲ μὴ δεομένοις, ἵνα μὴ δεηθῶσιν. ἐκάλει δὲ
τὸν ἀσύμβολον πλοῦτον, καὶ φειδοῖ κεκολασμέ-
νον, νεκρὸν πλοῦτον. τοὺς δὲ θησαυρούς, ἐσοῦς

ἀντιτίθενται τὰ χρήματα ἔνιοι, πλούτου δὲ
σμωτήρια. τοὺς δὲ καὶ θύειν ἀξιοῦντας ἀντὶ θε-
τοις χρήμασιν, ἀλωάδας ἐπωνόμαζε. θύοντας
ἄρτι μετὰ τὸ δῆσαι αὐτόν. ἩΓΗΣΙΠΠΟΥ.

Ἡγησίππου, τοῦ κρωβύλου προσαγορευομένου, παρο-
ξύνοντος τοὺς ἀθηναίους ἐπὶ φίλιππον, ὑπεφώ-
νησέ τις ἐκ τῶν τῆς ἐκκλησίας, πόλεμον εἰση-
γῇ; ναὶ μὰ δία εἶπε. καὶ μέλανα ἱμάτια. καὶ δη-
μοσίας ἐκφοράς. καὶ λόγους ἐπιταφίους, εἰ μέλλο-
μεν ἐλεύθεροι βιώσεσθαι. καὶ μὴ ποιήσειν τὸ
προσταττόμενον μακεδόσι. ἩΡΩΝΔΟΥ.

Ἡρώνδας, ἀθήνησιν ἁλόντος τινὸς γραφὴν ἀργίας,
παρὼν καὶ πυθόμενος, ἐκέλευσεν ἐπιδεῖξαι
αὐτῷ, τὸν τὴν ἐλευθερίαν δίκην ἡττηθέντα.

ἩΡΑΚΛΕΙΔΟΥ.

Ἡρακλείδης φησὶ τοὺς παμφυλίους χαίρειν τῷ β΄
προτιθέντας αὐτῷ παντὸς φωνήεντος. τὸ οὖν
φάος, φάβος φασί. καὶ τὸ ἀέλιος, βαβέλιος. καὶ
ὀρούω, ὀρούβω. αἰολεῖς δὲ τῷ β΄ χαίρουσι προτι-
θέντες τοῦ ρ. ἐν τῷ ῥάκος, βράκος. ῥόδος βρόδος.
ῥυτήρ, βρυτήρ.

ἠρίστησα μὲν ἰτρίου λεπτοῦ μικρὸμ ἀποκλάς.
οἴνου δ' ἐξέπιον κάδδον. νῦν δ' ἁβρῶς ἐρόεσσαν
(ψάλλω.

ΘΑΛΛΟΥ͂.

Θαλλῆς ἐξαμίου καὶ κλεοβουλίνης μιλήσιος ἐρωτηθεὶς τί δύσκολον, ἔφη, τὸ ἑαυτὸν γνῶναι. πάλιμ ἐρωτηθεὶς τί εὔκολομ, εἶπε, τὸ ὑποτίθεσθαι ἄλλῳ. ὁ αὐτὸς ἐρωτηθεὶς πόσον ἀπέχει τὸ ψεῦδος τοῦ ἀληθοῦς, ὅσομ ἔφη ὀφθαλμοὶ τῶν ὤτων. ὁ αὐτὸς ἐρωτηθεὶς τί κοινώτατομ, ἀπεκρίνατο ἐλπίς. καὶ γὰρ οἷς ἄλλο μηδὲν, αὕτη πρόσεστιμ. ὁ αὐτὸς, τῇ μητρὶ κλεοβουλίνῃ, γυναῖκα λαβεῖμ δεομένῃ, οὔ πω καιρὸς ἔλεγεν. εἶτα προβὰς, οὐκέτι καιρός.

ὁ αὐτὸς ἐδόξαζεν, ὡς ἡ πρόνοια μέχρι τῶμ ἐσχάτων διήκει καὶ οὐδὲν αὐτὴν λανθάνει οὐδὲ τὸ ἐλάχιστον.

ΘΑΛΛΗ͂Σ ἘΞΑΜΙΟΥ ΚΑῚ ΚΛΕΟΒΟΥΛΙ-
ΝΗΣ ΜΙΛΗΣΙΟΣ, ΤΑΔΕ ἜΦΗ.

γνῶθι σαυτόν. ὃ μέλλεις ποιεῖν, μὴ λέγε. ἀποτυχὼν γὰρ γελασθήσῃ. τοῖς ἐπιτηδείοις χρῶ.

ὅσα νουθετεῖς τὸν πλησίον, αὐτὸς ποίει. ἀπραγοῦντα μὴ ὀνείδιζε. ἐπὶ γὰρ τούτοις, νέμεσις θεῶμ κάθηται. ἀγάπα τὸμ πλησίον, μικρὰ ἐλαττούμενος. τὸν φίλον, κακῶς μὴ λέγε. δεινὸν συνιδεῖν τὸ μέλλον. σκόπει τὸ γενόμενον. πιστὸν γῆ. ἄπιστον θάλασσα. ἄπληστον κέρδος. κτῆσαι ἴδια. θεραπείαμ ζήτει. φίλει τὴν παιδείαν. σωφροσύνην. φρόνησιν. ἀλήθειαν. πίστιν. ἐμπειρίαν. ἐπιδεξιότητα. ἑταιρείαν. οἰκονομίαν. τέχνην.

ΘΕΑΡΙΔΟΥ.

Θεαρίδας ξίφος ἀκονῶν, ἠρωτήθη εἰ ὀξύ ἐστι. ναὶ εἶπεν. ὀξύτερομ διαβολῆς.

ΘΕΑΝΟΥΣ.

Θεανὼ ἐρωτηθεῖσα ποσταία γυνὴ ἀπ' ἀνδρὸς καθαρεύει, ἀπὸ μὲν τοῦ ἰδίου εἶπε παραχρῆμα. ἀπὸ δὲ ἀλλοτρίου, οὐδέποτε. ἡ αὐτὴ παρέφηνε τὴν χεῖρα περιβαλλομένη τὸ ἱμάτιον. εἰπόντος δέ τινος καλὸς ὁ πῆχυς, ἀλλ' οὐ δημόσιος ἔφη. ἡ αὐτὴ ἐρωτηθεῖσα τί πρέπον εἴη γυναικὶ, τὸ τῷ ἰδίῳ ἔφη ἀρέσκειν ἀνδρί. ἡ αὐτὴ ἐρωτηθεῖσα πῶς ἔνδοξος ἔσται, ἔφη.

ἱστὸν ἐποιχομένη, καὶ ἐμὸν λέχος ἀμτιόωσα.

## ΘΕΜΙΣΤΟΚΛΕΟΥΣ.

Θεμιστοκλῆς ἔτι μειράκιον ὤν, ἐν πότοις ἐκυλινδεῖτο, καὶ γυναιξίν. ἐπειδὴ δὲ μιλτιάδης στρατηγῶν, ἐνίκησεν ἐν μαραθῶνι τοὺς βαρβάρους, οὐκέτι ἦν ἐντυχεῖν ἀτακτοῦντι θεμιστοκλεῖ. πρὸς δὲ τοὺς θαυμάζοντας τὴν μεταβολὴν ἔλεγεν, ὡς οὐκ ἐᾷ με καθεύδειν τὸ μιλτιάδου τρόπαιον. ὁ αὐτὸς χωρίον πωλῶν, ἐκέλευσε κηρύττειν, ὅτι καὶ γείτονα χρηστὸν ἔχει. ὁ αὐτὸς, τὴν θυγατέρα μνωμένων αὐτοῦ, τὸν ἐπιεικῆ τοῦ πλουσίου προτιμήσας ἄμδρα, ἔφη ζητεῖν χρήματος δεόμενον μᾶλλον, ἢ χρήματα ἀμδρός. ὁ αὐτὸς ἐρωτηθεὶς, πότερον ἀχιλλεὺς ἐβούλετ᾽ ἂμ ἢ ὅμηρος εἶναι, σὺ δ᾽ αὐτὸς ἔφη πότερον ἤθελες ὁ νικῶν ἐμ ὀλυμπιάσιν, ἢ ὁ κηρύττωμ τοὺς νικῶντας εἶναι. ὁ αὐτὸς, ξέρξου καταβαίνοντος ἐπὶ τὴν ἑλλάδα τῷ μεγάλῳ στόλῳ. φοβηθεὶς ἐπικύδημ τὸμ δημαγωγὸμ αἰσχροκερδῆ καὶ δειλὸν ὄμτα, μὴ στρατηγὸς γενό-

μενος ἀπολέσῃ τὴν πόλιν, ἐπεὶ σε μαρτυρίῳ τῆς στρατηγίας ἀποστῆναι. ὁ αὐτὸς ἀδειμάντου ναυμαχεῖν μὴ τολμῶντος, εἰπόντος πρὸς τὸν θεμιστοκλέα τοὺς ἕλληνας παρακαλοῦντα καὶ προτρέποντα, ὦ θεμιστόκλεις. τοὺς ἐν τοῖς ἀγῶσι προεξισταμένους, μαστιγοῦσιν ἀεὶ, ναὶ εἶπεν ὦ ἀδείμαντε. τοὺς δὲ λειπομένους οὐ στεφανοῦσιν. ὁ αὐτὸς, πρὸς σιμωνίδην ἐξαιτούμενον τινὰ κρίσιν οὐ δικαίαν, ἔφη. μήτ' ἐκεῖνον γενέσθαι ποιητὴν ἀγαθὸν, ᾄδοντα παρὰ μέλος, μήτ' αὐτὸν ἄρχοντα χρηστὸν, δικάζοντα παρὰ τὸν νόμον. ὁ αὐτὸς, ἐπεὶ δὴ ἐξέπεσε τῶν ἀθηναίων τὸ πρῶτον, εἶτα καὶ τῆς ἑλλάδος, ἀναβὰς πρὸς βασιλέα, καὶ πολλῶν δωρεῶν ἀξιωθεὶς, καὶ ταχὺ πλούσιος γενόμενος, πρὸς τοὺς παῖδας εἶπεν. ὦ παῖδες ἀπολόμεθ' ἂν, εἰ μὴ ἀπολώλειμεν.

## ΘΕΟΚΡΙΤΟΥ.

θεόκριτος ὁ χῖος ἐρωτηθεὶς, ποῖα τῶν θηρίων ἐστὶ χαλεπώτατα, εἶπεν. ἐν μὲν τοῖς ὄρεσιν ἄρκτοι. καὶ λέοντες. ἐν δὲ ταῖς πόλεσι, τελῶναι, καὶ συκοφάνται.

ὁ αὐτὸς, πρός τινα διαλεκτικὸν συντεταμένως αὐτῷ καὶ ἐριστικῶς ἀποκρινόμενον, ἔφη· ὡς ἔρις ἔκ τε θεῶν ἐκ τ' ἀμθρώπωμ, ἀπόλοιτο.

ὁ αὐτὸς, ἀφυοῦς ποιητοῦ ἀκρόασιν ποιουμένου, ἐρωτώμενος ὑπ' αὐτοῦ, ποῖα ἐστὶ τὰ καλῶς εἰρημένα, ἔφη. ἃ παρέλιπες.

Θεόκριτος πραξαγόρου καὶ φιλιστίμης ἐρωτηθεὶς διατί οὐ συγγράφει, ὅτι εἶπεν ὡς μὲν βούλομαι, οὐ δύναμαι. ὡς δὲ δύναμαι, οὐ βούλομαι.

ΘΕΟΦΡΑΣΤΟΥ.

Θεόφραστος μελάντου ἐρέσιος, φοιτητὴς ἀριστοτέλους. οὐδὲν ἀλυσιτελέστερον ἔφη φιλοδοξίας. ὁ αὐτὸς ἐμ συμποσίῳ νεανίσκον τινὰ βλέπων ἡσυχίαν ἔχοντα, εἶπεν. εἰ μὲμ ἀπαίδευτος ὢμ σιωπᾷς, πεπαιδευμένος ὑπάρχεις. εἰ δὲ πεπαιδευμένος ὑπάρχεις, ἀπαιδεύτως σιωπᾷς. ὁ αὐτὸς εἶπε τοὺς μοχθηροὺς τῶν ἀνθρώπων, οὐχ οὕτως ἥδεσθαι ἐπὶ τοῖς ἰδίοις ἀγαθοῖς, ὡς ἐπὶ τοῖς ἀλλοτρίοις κακοῖς. ὁ αὐτὸς ἔφη, ἐκ διαβολῆς καὶ φθόνου

ψεῦδος ἰσχῦσαν, ἀπεμαράνθη. ὁ αὐτὸς, ἐπὶ τῆς τελευτῆς ἐρωτηθεὶς ὑπὸ τῶν μαθητῶν εἴ τι ἐπισκήπτει, ἐπισκήπτειν μὲν εἶπεν ἔχω οὐδέν. πλὴν ὅτι πολλὰ τῶν ἡδέων ὁ βίος διὰ τὴν δόξαν καταλαζονεύεται. ἡμᾶς γὰρ ὁπότε ἠρχόμεθα ζῆν, τότε ἀποθνήσκομεν. οὐδὲν οὖν ἀλυσιτελέστερόν ἐστι φιλοσοφίας. ἀλλ' εὐτυχεῖτε. ἢ εἴ τι τῶν λόγων ἄφετε, πολὺς γὰρ ὁ πόνος, ἢ καλῶς αὐτῶν πρόστητε. μεγάλη γὰρ ἡ δόξα. τὸ δὲ κενὸν τοῦ βίου, πλεῖον τοῦ συμφέροντος. ἀλλ' ἐμοὶ μὲν, οὐκέτι ἐκποιεῖ βουλεύεσθαι τί πρακτέον. ὑμᾶς δὲ ἐπισκέψασθε τί ποιητέον. ταῦτα φασὶν εἰπών, ἀπέπνευσεν.

ΘΕΟΔΩΡΟΥ.

Θεόδωρος ὁ κυρηναϊκὸς, λυσιμάχου τοῦ βασιλέως ἀπειλήσαντος αὐτὸν ἀναιρήσειν, ἐλελήθεις εἶπεν οὐ βασιλέως, ἀλλὰ κωνείου δύναμιν ἔχων. ὁ αὐτὸς ἔλεγεν εὔλογον εἶναι τὸν σπουδαῖον, μὴ ἐξάγαγεῖν ὑπὲρ τῆς πατρίδος αὐτόν. οὐ γὰρ ἀπολαβεῖν τὴν φρόνησιν ἕνεκα

τῆς τῶν ἀφρόμων ὠφελείας. εἶναί τε πατρίδα
τὸν κόσμον. κλέψειν τε καὶ μοιχεύσειν, καὶ ἱερο
συλήσειν μηδὲν τούτων φύσει αἰσχρὸν εἶναι, τῆς
ἐπ' αὐτοῖς δόξης αἰρουμένης. ἣ σύγκειται ἕνεκα
τῆς τῶν ἀφρόνωμ συνοχῆς. φανερῶς τε τοῖς ἐρω
μένοις ἄνευ πάσης ὑφοράσεως χρήσεσθαι τὸν
σοφόν. διὸ καὶ τοιούτους λόγους ἠρώτα, ἆρά γε γυ
νὴ γραμματικὴ χρήσιμος ἀμ εἴη, παρ' ὅσον γραμ
ματική ἐστι; ναί. οὐκοῦν καὶ γυνὴ καλὴ χρησίμη
ἂν εἴη παρ' ὅσον καλή ἐστι; καὶ παῖς καὶ νεανίσκος
χρήσιμος ἀμ εἴη παρ' ὅσον καλός ἐστι; ναί. καὶ
παῖς ἄρα καὶ νεανίσκος καλὸς πρὸς τοῦτ' ἂμ
εἴη χρήσιμος, παρ' ὅσομ καλός ἐστιν; ἔστι δὲ χρή
σιμος πρὸς τὸ πλησιάζειν. ὧμ διδομένων, ἐ
πῆγεν, οὐκοῦν εἴ τις πλησιασμῷ χρῷτο παρ'
ὅσον χρήσιμός ἐστιν, οὐ διαμαρτήσεται. τοιαῦτα
ἄττα διερωτῶν, ἴσχυε τῷ λόγῳ. ὁ αὐτὸς δοκεῖ
κληθῆναι θεός. Στίλπωνος αὐτὸν ἐρωτήσαντος
οὕτως. ἆρά γε θεόδωρε θεὸς εἶναι φής, τοῦτο
καὶ εἶ; ἐπινεύσαντος δὲ, φὴς δ' εἶναι θεός, τοῦ
το δ' ὁμολογήσαμτος, θεὸς εἶ ἄρα ἔφη. δεξα

μένου δὲ ἀσμένως, γελάσας φησίν. ἀλλ' ὦ μοχθηρὲ τῷ λόγῳ τούτῳ καὶ κολοιὸς ἂν ὁμολογοίη σταφίδας εἶναι. καὶ ἄλλα μυρία. ὁ αὐτὸς, προσκαθίσας ποτὲ εὐρυκλείδῃ τῷ ἱεροφάντῃ, λέγε μοι ἔφη εὐρυκλείδη, τίνες εἰσὶν οἱ ἀσεβοῦντες περὶ τὰ μυστήρια. εἰπόντος δ' ἐκείνου. οἱ τοῖς ἀμυήτοις αὐτὰ ἐκφέροντες, ἀσεβεῖς ἄρα εἶ καὶ σὺ ἔφη, τοῖς ἀμυήτοις διηγούμενος. καὶ μέντοι παρ' ὀλίγον ἐκινδύνευσεν εἰς ἄρειον ἀχθῆναι πάγον, εἰ μὴ δημήτριος αὐτὸν ὁ φαληρεὺς ἐρύσατο. ὁ αὐτὸς διατρίβων παρὰ πτολεμαίῳ τῷ λάγου, ἀπεστάλη ποτὲ ὑπ' αὐτοῦ πρὸς λυσίμαχον πρεσβευτής. ὅτε καὶ παρρησιαζομένῳ φησὶν ὁ λυσίμαχος, λέγε μοι θεόδωρε. οὐ σὺ ὁ ἐκπεσὼν ἀθήνηθεν; καὶ ὃς ὀρθῶς ἀκήκοας. ἡ γὰρ τῶν ἀθηναίων πόλις οὐ δυναμένη με φέρειν, ὥσπερ ἡ σεμέλη τὸν διόνυσον, ἐξέβαλεν. ὁ αὐτὸς. εἰπόντος τοῦ λυσιμάχου, βλέπε ὅπως μὴ παρέσῃ πρὸς ἡμᾶς ἔτι, οὐκ ἄν ἔφη ἂν μὴ πτολεμαῖος ἀποστείλῃ.

ὁ αὐτὸς, μέθρου τοῦ διοικητοῦ λυσιμάχου παρεστῶτος, καὶ εἰπόντος ἔοικας σὺ μόνος θεοὺς

ἁγμοῆν, ἀλλὰ καὶ βασιλέας, πῶς εἶπεν ἁγμεῖν,
ὅπουγε καὶ σὲ θεοῖς ἐχθρὸμ εἶναι μομίζω.

## ἹΕΡΩΝΟΣ.

Ἱέρων ὁ φιλόσοφος, ἰατρὸμ καὶ φίλον ἡγοῦ τοὺς ἐν
ἀνάγκαις σπουδαίους εἶναι. ὁ αὐτὸς ὀνειδι-
ζόμεμος ὑπό τινος ὅτι πολλοὺς ῥητορεύειν δι-
δάξας ἐπένετο, εἶπεν. οὔτε γὰρ ἐδίδαξα φι-
λαργυρεῖμ. ὁ αὐτὸς ἀκρόασιν ποιούμενος, εἶ-
πε δεῖν ἐστοχᾶσθαι. τοὺς συνετοὺς ὠφελῆ-
σαι. τοὺς ἀπείρους διδάξαι. τοὺς φθονεροὺς
λυπῆσαι. ὁ αὐτὸς ἔχωμ δύο μαθητάς, ἕνα
μὲν ἀφυῆ καὶ φιλόπονον. ἕτερον δὲ εὐφυῆ καὶ
ἀργόν, ἀμφότεροι εἶπεν ἀπόλλυσθε. ὅτι
σὺ μὲν θέλων, οὐ δύνῃ. σὺ δὲ δυνάμεμος, οὐ
θέλεις. ὁ αὐτὸς ἔλεγε. μεγάλους δεῖν λαμ-
βάνειν μισθοὺς παρὰ τῶμ μαθητῶν τοὺς διδα-
σκάλους. παρὰ μὲμ τῶν εὐφυῶν, ὅτι πολλὰ
μανθάνουσι. παρὰ δὲ τῶμ ἀφυῶν, ὅτι πολὺν
κόπον παρέχουσιν. ὁ αὐτὸς ἐρωτηθεὶς, τί
αὐτῷ γέγονεμ ἐκ φιλοσοφίας, ἔφη. τὸ ἀνεπι-

τάκτως

τάκτως ποιῶ, ἃ τινὲς διὰ τὸν ἐκ τῶν νόμων
φόβον ποιοῦσιν. ὁ αὐτὸς ἐρωτηθεὶς πῶς
ἄν τις εὐτυχίαν ἄριστα φέροι, ἔφη. εἰ τοὺς ἐ-
χθροὺς χείρονας πράττοντας βλέπει.

ἹΕΡΩΝΟΣ, ΤΟΥ͂ ΤΥΡΆΝΝΟΥ.

Ἱέρων ὁ σικελὸς τύραννος, ξενοφάνους τοῦ κο-
λοφωνίου λέγοντος ὅμηρον, ἠρώτησεν αὐτόν,
πόσους οἰκέτας ἔχει. τοῦ δὲ εἰπόντος δύο,
καὶ τούτους μόλις τρέφειν, οὐκ αἰσχύνῃ φησὶν ὅ-
μηρον λέγων. ὃς μετηλλαχώς, πλείονας ἢ
μυρίους τρέφει; ὁ αὐτὸς λοιδορηθεὶς ὑπό τι-
νος εἰς τὴν δυσωδίαν τοῦ στόματος, ᾐτιᾶτο
τὴν αὐτοῦ γυναῖκα, μηδέποτε περὶ τούτου
φράσασαν. ἡ δὲ εἶπεν, ᾤμην γὰρ τοιοῦτον ἅ-
παντας τοὺς ἄνδρας ὄζειν. ἹΠΠΟΚΡΆΤΟΥΣ.

Ἱπποκράτης ἔφη. σιτία. ποτά. ὕπνοι. ἀφρο-
δίσια. πάντα μέτρια ἔστω. ἹΠΠΟΚΡΑΤΊΔΟΥ.

Ἱπποκρατίδας πρὸς τὸν τῆς καρίας σατράπην
ἐπιστείλαντα, διότι τὶ λακεδαιμόνιος ἀνὴρ, ἐ-
πιβουλευόντων τινῶν συνειδὼς τὴν ἐπιβουλήν,

καὶ ἐσιώπησε. καὶ προσθέντος πῶς χρήσεται αὐτῷ, ἀντέγραψεν. εἰ μὲν μέγα τι αὐτὸν ἀγαθὸν πεποίηκας, κατάκτανε. εἰ δὲ μή, ἐκ τῆς χώρας ἔκβαλε δειλὸν πρὸς ἀρετὴν ὄντα. ὁ αὐτός, ἀπαντήσαντος αὐτῷ τῶν τε μειρακίων, ᾧ ἠκολούθει ἐραστής τις, καὶ διατραπέντος, μετὰ τοιούτων ἔφη βαδίζειν δεῖ, μεθ᾽ ὧν ὀφθεὶς, τὴν αὐτὴν χρόαν τηρήσεις.

ΙΠΠΟΜΑΧΟΥ.

Ἱππόμαχος ὁ ἀλείπτης, ἐπαινούντων τινῶν ἄνθρωπον εὐμήκη, καὶ μακρὰς ἔχοντα χεῖρας ὡς πυκτικόν, εἴπερ ἔφη καθελεῖν ἔδει τὸν στέφανον κρεμάμενον.

ΙΦΙΚΡΑΤΟΥΣ.

Ἰφικράτης, σκυτέως παῖς, ἀθηναῖος ῥήτωρ. καὶ στρατηγὸς ἐν φιλίᾳ καὶ συμμάχῳ χώρᾳ στρατοπεδεύων, καὶ χάρακα βαλλόμενος, καὶ τάφρον ὀρύττων ἐπιμελῶς, πρὸς τὸν εἰπόντα τί γὰρ φοβούμεθα, χειρίστην ἔφησε στρατηγοῦ φωνὴν εἶναι, τὸ οὐκ ἂν προσεδόκησα. ὁ αὐτὸς, πρὸς ἁρμόδιον τὸν τοῦ παλαιοῦ ἁρμοδίου ἀπόγονον, εἰς δυσγένειαν αὐτῷ λοιδορούμενον, ἔφη. τὸ μὲν

ἐμὸν ἀπ' ἐμοῦ γένος ἄρχεται. τὸ δὲ σὸν ἐν σοὶ
παύεται. ὁ αὐτὸς, ῥήτορός τινος ἐπερωτῶν-
τος αὐτὸν ἐν ἐκκλησίᾳ, τίς ὢν μέγα φρονεῖς, πό-
τερον, ἱππεύς, ἢ τοξότης, ἢ πελταστής, ἢ πε-
ζός, οὐδεὶς ἔφη τούτων. ἀλλ' ὁ πᾶσι τούτοις ἐπι-
στάμενος ἐπιτάττειν. ὁ αὐτὸς κρινόμενος θα-
νάτου, πρὸς τὸν συκοφάντην οἷα ποιεῖς ὦ ἄνθρωπε εἶ-
πε, πολέμου περιεστῶτος τὴν πόλιν περὶ ἐμοῦ
πείθων βουλεύεσθαι, καὶ μὴ μετ' ἐμοῦ. ὁ αὐ-
τὸς τότε πρῶτον ἔσχε δόξαν, ὅτε ῥαυματίας
πολέμιον ἄνδρα μετὰ τῶν ὅπλων ζῶντα συ-
ναρπάσας, εἰς τὴν ἑαυτοῦ τριήρη μετήνεγκεν.

## ἸΣΟΚΡΆΤΟΥΣ.

Ἰσοκράτης κάκιστον ἄρχοντα ἔλεγεν εἶναι, τὸν ἄρ-
χειν ἑαυτοῦ μὴ δυνάμενον. ὁ αὐτὸς, ἐρωτη-
θεὶς διὰ ποίαν αἰτίαν τοὺς ἄλλους διδάσκων λέ-
γειν αὐτὸς σιωπᾷ, ἔφη. καὶ γὰρ ἡ ἀκόνη αὐτὴ μὲν
οὐ τέμνει, τὰ δὲ ξίφη ὀξέα ποιεῖ. ὁ αὐτὸς ἐρωτη-
θεὶς τίνι οἱ φιλόπονοι τῶν ῥαθύμων διαφέρουσιν, εἶ-
πεν, ὡς οἱ εὐσεβεῖς τῶν ἀσεβῶν, ἐλπίσιν ἀγαθαῖς.

ὁ αὐτὸς ἰδὼν νεανίαν φιλοπονοῦντα, ἔφη. κάλλιστον ὄψον τῷ γήρατι ἀρτύεις. ὁ αὐτὸς, καρέωνος ὄντος λάλου, καὶ σχολάζειν παρ' αὐτῷ βουλομένου, διπλοῦς ᾔτησε μισθούς. τοῦ δὲ, τὴμ αἰτίαν πυθομένου, ἕνα μὲν ἔφη, ἵνα λαλεῖν μάθῃς. τὸμ δὲ ἕτερον ἵνα σιγᾷς. ΚΑΡΝΕΑΔΟΥ.

Καρνεάδης ἐπικώμου, ἢ φιλοκώμου, κυρηναῖος, μαθὼν ἀντίπατρον φάρμακον πιόντα ἀποθανεῖν, παρωρμήθη πρὸς τὸ εὐθαρσὲς τῆς ἀπαλλαγῆς. καὶ φησί. δότε οὖν κἀμοί. τῶν δὲ εἰπόντων τί. οἰνόμελι εἰπεῖν. Τελευτῶντος δὲ αὐτοῦ φασὶν ἔκλειψιν γενέσθαι τῆς σελήνης.

ὁ αὐτὸς, μέντορος τοῦ βιθυνοῦ μαθητοῦ ὄντος, καὶ παρ' αὐτοῦ ἐλθόντος εἰς τὴν διατριβὴν, καὶ τὴν παλακὴν αὐτοῦ πειρῶντος, παρῴδησε μεταξὺ λέγων εἰς αὐτὸν καθὰ φησὶ φαβωρῖνος ἐν παντοδαπῇ ἱστορίᾳ.

» πωλεῖται τίς δεῦρο γέρων ἅλιος νημερτής.
» μέντορι εἰδόμενος ἠμὲν δέμας, ἠδὲ καὶ αὐδήν.

τοῦτομ σχολῆς τῆσδε ἐκκεκηρύχθαι λέγω. καὶ ὃς ἀναστάς, οἱ μὲν, ἐκήρυσσον. οἱ δ' ἠγείροντο

μάλωκα. ὁ αὐτὸς, τὴν διαλεκτικὴν ἔλεγε πολύποδι ἐοικέναι. καὶ γὰρ ἐκεῖνον, αὐξηθείσας τὰς πλεκτάνας κατεσθίειν. καὶ τούτους προϊούσης τῆς δυνάμεως, καὶ τὰ σφέτερα ἀμαθέσιν.

ΚΑΤΩΝΟΣ.

κάτων τῆς πολυτελείας καθαπτόμενος, εἶπεν· ὡς χαλεπόν ἐστι λέγειν πρὸς γαστέρα, ὦτα μὴ ἔχουσαν. ὁ αὐτὸς ἰδὼν μειράκιον ἐρυθριάσαν, ἔφη· θάρρει. τοιοῦτον γὰρ ἔχει ἡ ἀρετὴ τὸ χρῶμα. ὁ αὐτὸς εἶπεν. οἱ πολλοὶ τῶν ἀνθρώπων, πρὸς μὲν τὰς τιμωρίας ἑτοιμοτέρως ἔχουσι. πρὸς δὲ τὰς εὐεργεσίας καὶ φιλίας, ὑπτίως. ὁ αὐτὸς τοὺς σπουδάζοντας ἐν τοῖς γελοίοις, ἔλεγεν ἐν τοῖς σπουδαίοις γίγνεσθαι καταγελάστους. ὁ αὐτὸς ἥκιστα φθονεῖσθαι ἔλεγε, τοὺς τῇ τύχῃ χρωμένους ἐπιεικῶς καὶ μετρίως. οὐ γὰρ ἡμῖν. ἀλλὰ τοῖς περὶ ἡμᾶς φθονοῦσιν.

ΚΙΜΩΝΟΣ.

κίμων στρατηγὸς ἀθηναίων. τούτου τοὺς μή-

δους νικήσαντος κατὰ γῆν καὶ κατὰ θάλασσαν, ὁ δῆμος τῶν ἀθηναίων ἐκ τῶν λαφύρων ὧν ἐλήφει τὴν δεκάτην ἐξελόμενος, ἀνέθηκε τῷ θεῷ. καὶ τὴν ἐπιγραφὴν ἐπὶ τὸ κατασκευασθὲν ἀνάθημα, ἐπέγραψε τήνδε.

ἐξ οὗ γ' εὐρώπην ἀσίας δίχα πόντος ἔκρινε,
καὶ πόλιας θνητῶν θοῦρος ἄρης ἐφέπει,
οὐδενί πω κάλλιον ἐπιχθονίων γένετ' ἀνδρῶν.
ἔργον ἐν ἠπείρῳ καὶ κατὰ πόντον ὁμοῦ.
οἵδε γὰρ ἐν κύπρῳ μήδους πολλοὺς ὀλέσαντες,
φοινίκων ἑκατὸν ναῦς ἕλον ἐν πελάγει
ἀνδρῶν πληθούσας. μέγα δ' ἔστενεν ἀσὶς ὑπ' αὐτῶν
πληγεῖσ' ἀμφοτέραις χερσὶ κράτει πολέμου. (τ.

ΚΛΑΥΔΙΑΝΟΥ͂, ΕΚ ΤΗ͂Σ ΓΙΓΑΝΤΟΜΑΧΙΑΣ.

κύπρις δ' αὖτε βέλος φέρεν οὐχ ὅπλον. ἀλλὰ ἑ
„ κόμιζεν ἀγλαΐην. θεμένη γὰρ ἐπ' ὄμμασιν ἄγ
„ λον αὐδὴν, πρῶτα μὲν ἀπλεκέας περόνῃ διέ
„ κρινε χαίτας. καὶ πλεκτὰς ἔσφιγξε πυκνῷ πε
„ ριπλέγματι στρεφεύς. στίλβει δ' ὀφθαλμῶν ἐρα
„ τοὺς ὑπεγράψατο κανθούς. λεπτὰς εὐανέμοια

» ῥαφὰς χαλάσασα χιτῶνας. πορφυρέων δ' οὐ
» κρύπτεν ὑφείμασιν ἄνθεα μαζῶν ὄμματος εἰς
» ἄγρην ὠπλισμένου. εἶχε γὰρ αὐτὴ πλέγμα, καὶ
ρυμ. δόρυ, μαζόν. ὀφρύν, βέλος. ἀσπίδα, κάλ
λος. ὅπλα, μέλη. θέλγητρον ἐν ἄλγεσιν. εἰ δέ
τις αὐτῇ ὄμμα βάλοι, δέδμητο.

### ΚΛΕΟΜΈΝΟΥΣ.

Κλεομένης, πρὸς τὸν ὑπισχνούμενον αὐτῷ δώ
σειν ἀλεκτρυόνας ἀποθνήσκοντας ἐν τῷ μάχε
σθαι, μὴ σύ γε εἶπεν. ἀλλὰ δός μοι τοὺς κατα
κτείνοντας ἐν τῷ μάχεσθαι. ΚΛΕΆΝΘΟΥΣ.

Κλεάνθης φανίου ἄσιος, ἐρωτώμενος διατί παρὰ
τοῖς ἀρχαίοις οὐ πολλῶν φιλοσοφησάντων, ὅμως
πλείους διέλαμψαν ἢ νῦν. ὅτι εἶπε τότε μὲν
ἔργον ἠσκεῖτο. νῦν δὲ, λόγος. ὁ αὐτὸς ἐρωτώμε
νος πῶς ἄν τις εἴη πλούσιος, εἶπεν. εἰ τῶν ἐπιθυ
μιῶν εἴη πένης. ὁ αὐτὸς, ὀνειδίσαντος αὐτῷ τι
νὸς εἰς τὸ γῆρας, κἀγὼ ἔφη ἀπιέναι βούλομαι.
ὅταν δὲ πανταχόθεν ἐμαυτὸν ὑγιαίνοντα περι
νοῦν. καὶ γράφοντα. καὶ ἀναγινώσκοντα, πάλιν μέ
νω.

ὁ αὐτὸς ὀνειδιζόμενος ὑπό τινος ὡς δειλὸς, εἶπε· διὰ τοῦτο καὶ ὀλίγα ἁμαρτάνω. ὁ αὐτὸς πολλάκις ἐπέπληττεμ ἑαυτῷ. ὧμ ἀκούσας ἀρίστωμ, τίνι ἔφη ἐπιπλήττεις. καὶ ὃς γελάσας, πρεσβύτῃ φησὶ πολιὰς μὲμ ἔχομτι. νοῦμ δὲ μή. ὁ αὐτὸς τοὺς ἀπαιδεύτους ἔφη μόνῃ τῇ μορφῇ τῶμ θηρίωμ διαφέρειν. ὁ αὐτὸς, λάκωνος τιμὸς εἰπόντος ὅτι ὁ πόνος ἀγαθὸν, διαχυθεὶς ἔφη. αἵματος εἶς ἀγαθοῖο φίλομ τέκος. ὁ αὐτὸς ποτὲ μειρακίῳ διαλεγόμενος, ἐπύθετο εἰ αἰσθάνεται, τοῦ δὲ ἐπινεύσαντος, διατί οὖν εἶπεν ἐγὼ οὐκ αἰσθάνομαι ὅτι αἰσθάνῃ. κλεάνθους φάσκομτος κατὰ ζήνωνα, καταληπτὸμ εἶναι τὸ ἦθος ἐξ εἴδους, νεανίσκους λέγεται τινὰς εὐτραπέλους ἀγαγεῖμ πρὸς ἑαυτὸν κίναιδον ἐσκληραγωγημένον ἐν ἀγρῷ. καὶ ἀξιοῦμ ἀποφαίνεσθαι περὶ τοῦ ἤθους. τὸν δὲ ἀπορούμενομ, κελεῦσαι ἀπιέναι τὸν ἄνθρωπον. ὡς δ' ἀπιὼν ἐκεῖνος ἔπταρεν. ἔχω εἶπεμ αὐτὸν ὁ κλεάμθης. μαλακός ἐστι.

ΚΛΕΟΒΟΥΛΟΥ.

κλεόβουλος εὐαγόρου λίνδιος τάδε ἔφη. εὖ τὸ σῶμα ἀσκεῖν. φιλήκοον εἶναι μᾶλλον. ἢ φιλόλαλον. φιλομαθῆ μᾶλλον, ἢ ἀμαθῆ. γλῶσσαν εὔφημον ἴσχειν. ἀρετῆς οἰκεῖον εἶναι. κακίας ἀλλότριον. ἀδικίαν φεύγειν. πόλει τὰ βέλτιστα συμβουλεύειν. ἡδονῆς κρατεῖν. τέκνα παιδεύειν. ἔχθραν διαλύειν. γυναικὶ μὴ φιλοφρονεῖσθαι. μὴ δὲ μάχεσθαι, ἀλλοτρίων παρόντων. τὸ μὲν γὰρ, ἄνοιαν. τὸ δὲ, μανίαν σημαίνειν. οἰκέτην πάροινον μὴ κολάζειν. δοκεῖ γὰρ παροινεῖν. γαμεῖν ἐκ τῶν ὁμοίων. ἂν γὰρ ἐκ τῶν κρειττόνων λάβῃς φησὶ, δεσπότας κτήσῃ τοὺς συγγενέας. μὴ ἐπιγελᾶν τοῖς σκωπτομένοις. ἀπεχθήσεσθαι γὰρ τούτοις. εὐτυχῶν μὴ ἴσθι ὑπερήφανος. ἀπορρήσας, μὴ ταπεινοῦ. τὰς μεταβολὰς τῆς τύχης, γενναίως ἐπίστασο φέρειν. ὅταν τις ἐξίῃ τῆς οἰκίας, ζητείτω πρότερον τί μέλλει πράττειν. ὅταν εἰσέλθῃ. πάλιν ζητείτω τί ἔπραξεν.

ἐτελεύτησε δὲ βιοὺς ἔτη ό. καὶ ἀπεφθέγξατο μέτρομ ἄριστομ. ὁ αὐτὸς ἔφη δεῖν συνοικίζειν ἀνδράσι τὰς ἑαυτῶν θυγατέρας τὴν μὲμ ἡλικίαμ παρθένους. τὸ δὲ φρονεῖμ γυναῖκας. ὁ αὐτὸς ἐρωτηθεὶς τίνα δεῖ μάλιστα φυλάττεσθαι, εἶπε τῶν μὲν φίλων τὸν φθόνον. τῶμ δὲ ἐχθρῶμ τὴν ἐπιβουλήν.

ΚΛΕΟΣΤΡΑΤΟΥ.

Κλεόστρατος πρὸς τὸν εἰπόντα αὐτῷ, οὐκ αἰσχύνῃ μεθύωμ, ἔφη. σὺ δὲ οὐκ αἰσχύνῃ μεθύοντα νουθετῶμ;

ΚΟΤΥΟΣ.

Κότυς φύσει ὀξὺς ὢν εἰς ὀργὴν, καὶ πικρὸς τῶν ἁμαρτανόντων ἐν ταῖς διακονίαις κολαστὴς, σκεύη ποτὲ κεράμεα κομίσαντος ξένου, εὔθραυστα καὶ λεπτὰ, πιθανῶς δὲ καὶ περιττῶς εἰργασμένα γλυφαῖς τισὶ καὶ τορείαις, τῷ μὲν ξένῳ ἔδωκε δῶρα. τὰ δὲ σκεύη πάντα συνέτριψεν. ὅπως εἶπε μὴ δι᾽ ὀργὴμ πικρότερομ κολάζω τοὺς συντρίβοντας. ὁ αὐτὸς τῷ δωρησαμένῳ πάρδαλιμ, ἀντεδωρήσατο λέοντα.

ΚΡΑΝΤΩΝΟΣ.

κράντων ἔφη. οὐκ ἔστι πενίας οὐδὲν ἀθλιώτερον, ἐν τῷ βίῳ σύμπτωμα. καὶ γὰρ ἂν φύσει σπουδαῖος ᾖς, πένης δὲ, καταγέλαστος ἔσῃ. ΚΡΑΤΗΤΟΣ.

κράτης τὰ τῶν πλουσίων καὶ ἀσώτων χρήματα, ταῖς ἐπὶ τῶν κρημνῶν συκαῖς εἴκαζεν. ἀφ᾽ ὧν ἀνθρώπων μηδένα λαμβάνειν. κόρακας δὲ καὶ ἰκτίνους. ὥσπερ παρὰ τούτων ἑταίρας καὶ κόλακας.

κράτης ἀπολύει τὰ κράτητος, ἵνα μὴ τὰ κράτητος κρατήσῃ τὸν κράτητα. οὗτος γὰρ ἐκ βοιωτίας ἕλκων τὸ γένος, φιλοσοφῆσαι θέλων τὴν κυνικὴν φιλοσοφίαν, λαβὼν τὰ ὑπάρχοντα αὐτοῦ, ἔρριψε τῷ δήμῳ. εἰπὼν τὸν παροιμιώδη τοῦτον λόγον.

ΛΑΜΑΧΟΥ.

λάμαχος ἐπετίμα τινὶ τῶν λοχαγῶν ἁμαρτόντι. τοῦ δὲ φήσαντος μηκέτι τοῦτο ποιήσειν. οὐκ ἔστιν εἶπεν ἐν πολέμῳ δὶς ἁμαρτεῖν.

ΛΑΚΩΝΙΚΑ.

λάκων, ἀργείου ποτὲ εἰπόντος πολλοὶ τάφοι

παρ' ἡμῖν ἐστὶ σπαρτιατῶν, εἶπεν. ἀλλὰ μὴν
παρ' ἡμῖν ἀργείων οὐδὲ εἷς. ὡς αὐτῶν μὲν
πολλάκις ἄργους ἐπιβεβηκότων. ἀργείων
δὲ τῆς σπάρτης, οὐδέποτε. λάκων αἰχμα-
λωτισθεὶς, καὶ πιπρασκόμενος, τοῦ κήρυκος
λέγοντος λάκωνα πωλῶ, ἐπεστόμισεν εἰπών,
αἰχμάλωτον κήρυσσε. λάκωνες ἀδελφῶν
πρὸς ἀλλήλους διαφερομένων, τὸν πατέρα
ἐζημίωσαν, ὅτι τοὺς υἱοὺς στασιάζοντας περι-
ορᾷ. λάκωσι περιτυχόντες τινὲς καθ' ὁδὸν
εἶπον. εὐτυχήκατε. ἀρτίως ἐντεῦθεν λῃστῶν
ἀπιόντων. οἱ δὲ οὐ μὰ τὸν ἐνυάλιον. ἀλλ' ἐ-
κεῖνοι μὴ περιτυχόντες ἡμῖν. λάκων ἐρω-
τηθεὶς τί ἐπίσταται, εἶπεν ἐλεύθερος εἶναι.
λάκων ἐρωτηθεὶς, δι' ἣν αἰτίαν τὰς τοῦ πώγω-
νος τρίχας ἐπὶ πολὺ κομώσας ἔχει, εἶπεν.
ἵνα βλέπων τὰς πολιὰς, μηδὲν ἀνάξιον αὐ-
τῶν πράττω. λάκων τις ἰδὼν πολυτελῆ χο-
ρηγίαν τοῖς τραγῳδοῖς παρασκευαζομένων,
εἶπεν. ὡς ἁμαρτάνουσιν ἀθηναῖοι μεγάλα

τὴν σπουδὴν εἰς τὴν παιδιὰν καταναλίσκον
τες. τουτέστι μεγάλων ἀποστόλων δαπάνας,
καὶ στρατευμάτων ἐφόδια, καταχορηγοῦντες
εἰς τὸ θέατρομ. ἂν γὰρ ἐκλογισθῇ τῶν δραμάτων
ἕκαστον ὅσομ κατέστη, πλέομ ἀνηλωκὼς φανεῖ
ται ὁ δῆμος εἰς βάκχας. καὶ φοινίσσας. καὶ οἰδί
ποδας. καὶ τὰ μηδείας κακά. καὶ ἠλέκτρας, ὧν
ὑπὲρ τῆς ἡγεμονίας, καὶ τῆς ἐλευθερίας πο
λεμῶμ, τοὺς βαρβάρους ἀνήλωσεν. Λάκωμ
ἐπὶ τῆς ἀσπίδος μυῖαν ἔχωμ ἐπίσημον, καὶ
ταύτημ οὐ μείζω τῆς ἀληθινῆς, ὡς καταγε
λῶντές τινες ἔλεγον ὑπὲρ τοῦ λανθάνειν τοῦ
το πεποιηκέναι, ἵνα μὲν οὖμ εἶπε φανερὸς ὦ.
οὕτω γὰρ τοῖς πολεμίοις τοσοῦτομ προσέρχο
μαι, ὥστε τὸ ἐπίσημον ἡλίκον ἐστὶμ ὑπ᾽ αὐτῶν
ὁρᾶσθαι. Λάκαινα παρθένος πενιχρὰ ἐρω
τηθεῖσα τίνα δίδωσι τῷ γαμοῦντι προῖκα, τὴμ
πάτριον εἶπε σωφροσύνην. Λάκαινα προϊόν
τι τῷ υἱῷ ἐπὶ πόλεμομ ἀναδιδοῦσα τὴν ἀ
σπίδα, ταύτην ἔφη ὁ πατήρ σοι ἀεὶ ἔσωζε.

καὶ σὺ οὖν ταύταμ σῶζε, ἢ μὴ ἔσο. Λάκαινα πρὸς τὸν υἱὸν λέγοντα μικρὸμ ἔχειν τὸ ξίφος, εἶπε καὶ βῆμα πρόσθες. Λάκαινα προσαναδιδοῦσα τῷ παιδὶ τὴν ἀσπίδα. καὶ παρακελευομένη, τέκνομ ἔφη. ἢ τὰν, ἢ ἐπὶ τᾶς. Λάκαινα ἐπ' ἀδικήματι τῷ παιδὶ κρινομένῳ, τέκνον εἶπεν. ἢ τᾶς αἰτίας, ἢ σεαυτὸν τοῦ ζῆν ἀπόλυσαι. Λάκαινα ἐρωτηθεῖσα εἰ ἀνδρὶ προσελήλυθεν. οὐκ ἐγὼ εἶπεν. ἀλλ' ὁ ἀνὴρ ἐμοί. Λάκαινα πιπρασκομένη καὶ ἐρωτωμένη τί ἐπίσταται. ἔφη πιστὰ ἦμεν. Λάκαινα ἐρωτηθεῖσα ὑπό τινος εἰ ἔσται ἀγαθὴ ἂμ αὐτὴν ἀγοράσῃ, ἔφη κἂν μὴ ἀγοράσῃς. Λάκαινα πιπρασκομένη, τοῦ κήρυκος πυνθανομένου τί ἐπίσταται, εἶπεν. ἐλευθέρα ἦμεν. ὡς δὲ ὁ ὠνησάμενος προσέταξέ τινα αὐτῇ οὐχ ἁρμόζοντα ἐλευθέρᾳ, εἰποῦσα οἰμώξῃ, φθονήσας σεαυτῷ τοιούτου κτήματος, ἐξήγαγεν ἑαυτήν.

ΛΕΟΝΤΟΣ.

Λέων βυζάντιος φιλίππῳ στρατευομένῳ ἐπὶ βυ

ξαντίους, προσαπαντήσας, εἰπέ μοι ὦ φίλιππε
ἔφη, τί παθὼν πολέμου ἄρχεις; τοῦ δὲ εἰπόντος,
ὡς ἡ πατρὶς ἡ σὴ καλλίστη πόλεων οὖσα ὑπη-
γάγετό με ἐρᾷν αὐτῆς. καὶ διὰ τοῦτο ἐπὶ θύ-
ρας τῶν ἐμῶν παιδικῶν ἥκω, ὑπολαβὼν ὁ λέ-
ων, οὐ φοιτῶσιν ἔφη μετὰ ξιφῶν ἐπὶ τὰς τῶν
παιδικῶν θύρας, οἱ ἄξιοι τοῦ ἀντερᾶσθαι. οὐ γὰρ
πολεμικῶν ὀργάνων, ἀλλὰ μουσικῶν οἱ ἐρῶν-
τες δέονται. καὶ ἠλευθέρου τὸ βυζάντιον.

ΛΕΑΙΝΗΣ.

Λέαινα ἁρμοδίου ἐρωμένη τοῦ τυραννοκτονήσαν-
τος. ἥτις καὶ αἰκιζομένη ὑπὸ τῶν περὶ ἱππίαν τὸν
τύραννον, οὐδὲν ἐξειποῦσα, ἐναπέθανε ταῖς
βασάνοις. ὅθεν ἀθηναῖοι χαλκῆν ποιησάμε-
νοι λέαιναν ἄγλωττον, ἐν πύλαις τῆς ἀκρο-
πόλεως ἀνέθηκαν.

ΛΕΩΝΙΔΟΥ.

Λεωνίδας ὁ λακεδαιμόνιος, ὀλίγους ἔχων στρα-
τιώτας, εἰς τὴν πρὸς τοὺς πέρσας μάχην ἐξεστρα-
τεύετο. εἰπόντος δέ τινος ὅτι μετ᾽ ὀλίγων παντε-
λῶς ἐκστρατεύεται, εἶπεν. ἀλλὰ μετὰ βουλομέ-
νων.

ὁ αὐτὸς, ξέρξου ἀποθέσθαι τὰ ὅπλα προστάττον
τος, ἅμα τε πολλὰ ὑπισχνουμένου, καὶ χώ
ραν βελτίω δώσειν, καὶ συμμάχους περσῶν,
ἀπεκρίνατο. ὅτι ἡμᾶς καὶ συμμαχοῦντες τῷ
βασιλεῖ, χρησιμώτεροι μετὰ τῶν ὅπλων ἐσό
μεθα. καὶ πολεμεῖν ἀναγκαζόμενοι μετὰ τού
των, γενναιότερον ὑπὲρ τῆς ἐλευθερίας ἀγω
νιούμεθα περὶ τῆς χώρας. ὅτι πάτριόν ἐστι τοῖς
ἕλλησι, μὴ διὰ κακίαν. ἀλλὰ δι' ἀρετὴν χώ
ραν ἔχειν. πολεμοῦντες δ' ἐν θερμοπύλαις,
ἅπαντες οἱ περὶ αὐτὸμ πανταχόθεν τοξευό
μενοι, καὶ ἀκοντιζόμενοι, εὐκλεῶς ἀνῃρέθη
σαν. οἵτινες μόνοι τῶν πρὸ ἑαυτῶμ διὰ τὴν
ὑπερβολὴν τῆς ἀρετῆς οὐ μόνον ὑπὸ τῶν συγ
γραφέων, ἀλλὰ καὶ παρὰ ποιητῶν ὑμνήθησαμ
διὰ τὰς ἀμδραγαθίας. ὧμ καὶ σιμωνίδης ὁ με
» λοποιός. τῶν ἐν θερμοπύλαις θανόντων
» εὐκλεὴς μὲμ ἁ τύχα. καλὸς δ' ὁ πότμος.
» βωμὸς δ' ὁ τάφος. προγόνων δὲ μνᾶσις. ὁ δ'
» οἶτος ἔπαινος. ἐμ τάφιομ δὲ τοιοῦτον, οὔθ' εὐ

ρὼς

› ρώς, οὔθ' ὁ πανδαμάτωρ ἀμαυρώσει χρόνος ἀ
› γαθῶν ἀνδρῶν. ὁ δὲ σηκὸς οἰκέταν εὐδοξίαν
› ἑλλάδος εἵλατο. μαρτυρεῖ δὲ καὶ λεωνίδας ὁ
› σπάρτας βασιλεύς, ἀρετᾶς μέγαν λιπὼν κό
› σμον. ἀέναόν τε κλέος.

ΛΥΚΩΝΟΣ.

λύκων ἀστυάνακτος τρωαδεύς. ἔφασκε δεῖν πα
ρεζεῦχθαι τοῖς παισὶ τὴν αἰδῶ καὶ φιλοτιμίαν. ὡς
τοῖς ἵπποις μύωπα καὶ χαλινόν. ὁ αὐτὸς βαρὺ
φορτίον ἔφη πατρὶ κόρην, διὰ σπάνιν προικὸς ἐκ
τρέχουσα τὸν ἀκμαῖον τῆς ἡλικίας καιρόν.

ΛΥΣΙΟΥ.

λυσίας τινὶ δίκην ἔχοντι, λόγον συγγράψας ἔδω
κεν. ὁ δὲ, πολλάκις ἀναγνοὺς, ἧκε πρὸς τὸν λυ
σίαν ἀθυμῶν. καὶ λέγων, τὸ μὲν πρῶτον αὐτῷ διε
ξιόντι καὶ δεύτερον, θαυμαστὸν φανῆναι τὸν λόγον.
αὖθις δὲ καὶ τρίτον ἀναλαμβάνοντι, παντελῶς
ἀμβλὺν καὶ ἄπρακτον. ὁ δὲ λυσίας γελάσας, τί
οὖν εἶπεν, οὐχ ἅπαξ μέλλεις λέγειν αὐτὸν ἐπὶ
τῶν δικαστῶν;

ΛΥΣΙΔΟΣ.

λύσις περὶ πυθαγόρου τάδε φησί. λέγοντι δὲ πολ

λοί τοι καὶ δαμοσίᾳ φιλοσοφεῖν. ὅπερ ἀπαξιῶ. ὅς γε τὰ δαμόσια τὰ ἑαυτῶ θυγατρὶ παρακαταθέμενος τὰ ὑπομνάματα, ἐκέλευσε μηδενὶ τῶν ἐκτὸς τᾶς οἰκίας παραδιδόμεν. ἃ δυναμένα πολλῶν χρημάτων ἀποδίδοσθαι τὼς λόγως, οὐκ ἐβουλάθη. πενίαν γὰρ καὶ τὰς τῶν πατρίων ἐπισκήψιας, ἐνόμιζε χρυσῶ τιμιωτέρας ἦμεν. καὶ ταῦτα γυνά, ἧν καὶ τηλαυγὴς υἱὸς αὐτῆς. ὃς καὶ διεδέξατο τὸν πατέρα κατά τινας. ἐμπεδοκλέους καθηγήσαντος.

ΛΥΣΑΝΔΡΟΥ.

Λύσανδρος, διονυσίου τοῦ τυράννου πέμψαντος ἱμάτια ταῖς θυγατράσιν αὐτοῦ τῶν πολυτελῶν, οὐκ ἔλαβεν. εἰπὼν δεδιέναι μὴ διὰ ταῦτα μᾶλλον αἰσχραὶ φανῶσιν. ὁ αὐτὸς, πρὸς τοὺς ψέγοντας αὐτὸν ἐπὶ τῷ δι᾽ ἀπάτης τὰ πολλὰ πράσσειν ὡς ἀνάξιον τοῦ ἡρακλέους, ἔλεγεν ὅπου μὴ ἐφικνεῖται ἡ λεοντῆ, προσραπτέον εἶναι ἐκεῖ τὴν ἀλωπεκήν. ὁ αὐτὸς τοὺς λακεδαιμονίους ὁρῶν ὀκνοῦντας προσμάχεσθαι τοῖς τείχεσι τῶν κορινθίων, ὡς εἶδε λαγὼν

ἐξαλλόμενον ἐκ τῆς τάφρου, τοιούτους ἔφη φοβεῖσθε πολεμίους, ὧν οἱ λαγοὶ διὰ ἀργίαν ἐν τοῖς τείχεσιν ἐγκαθεύδουσιν;

## ΛΥΚΟΥΡΓΟΥ.

Λυκοῦργος ὁ νομοθέτης τῶν λακεδαιμονίων, τὸ μὲν ἀξιόχρεων τῶν ἀνθρώπων ἔφη ἐν τῇ οὐσίᾳ κεῖσθαι. τὸ δὲ ἀξιόπιστον, ἐν τοῖς τρόποις.

Ὁ αὐτὸς εἴθισε τοὺς πολίτας κομᾶν. λέγων ὅτι τοὺς μὲν καλοὺς ἡ κόμη εὐπρεπεστέρους ποιεῖ. τοὺς δὲ αἰσχροὺς φοβερωτέρους.

Ὁ αὐτὸς πρὸς τὸν κελεύοντα ποιεῖν ἐν τῇ πόλει δημοκρατίαν, σὺ πρῶτον εἶπεν ἐν τῇ οἰκίᾳ σου ποίησον δημοκρατίαν. Ὁ αὐτὸς στρατεύειν πολλάκις ἐπὶ τοὺς αὐτοὺς ἐκώλυσεν, ὅπως μὴ ποιῶσι μαχιμωτέρους. Ὁ αὐτὸς μέγιστα ἀδικήματα εἶναι φησὶ, θεῶν καταφρόνησις. γονέων κάκωσις ἑκούσιος. καὶ ἀρχόντων καὶ νόμων ὀλιγορία. καὶ ἑκούσιος ἀτιμία δικαιοσύνης. δικαιότατον δὲ εἶναι καὶ ὁσιώτατον, τὸν ταῦτα τιμῶντα. ἤ

ἐμφανίζοντα πρὸς πολίτας καὶ ἄρχοντας, καὶ τὰ τῶν καταφρονούντων. ΜΕΜΝΟΝΟΣ.

μέμνων ἀλεξάνδρῳ πολεμῶν ὑπὲρ δαρείου τοῦ βασιλέως, μισθοφόρον τινὰ πολλὰ βλάσφημα. καὶ ἀσελγῆ περὶ ἀλεξάνδρου λέγοντα, πατάξας τῇ λόγχῃ, ἐγώ σε εἶπε τρέφω μαχούμενον, ἀλλ' οὐ λοιδορούμενον ἀλεξάνδρῳ. ΜΕΝΑΝΔΡΟΥ.

μένανδρος εἶπεν. οὐδέποτε θύων ηὐξάμην οὕτως σώζεσθαι τὴν οἰκίαν, ἢ πᾶσιν οἰκέταις εἶναι ἐν αὐτῇ.

, ἐκ τοῦ ὁμήρου τοῦτο λαβών. ἰλιάδος φ. ἄϊε ζεύς.

, ἥμενος οὐλύμπῳ. ἐγέλασσε δέ οἱ φίλον ἦτορ.

, γηθοσύνῃ. ὅθ' ὁρῶτο θεοὺς ἔριδι ξυνιόντας.

χαίρει γὰρ ... ἐπιτεθῇ τέλος τῷ προστάγματι. καὶ ἀγαμέμνων μὲν ἔχαιρεν, ὅτ' ἄριστοι δαναῶν δηριόωντο. ἐπεὶ ἑώρα περὶ ἀρετῆς αὐτοὺς ἀγωνιζομένους. ὁ αὐτὸς εἶπεν.

Ἅπαντα τὰ ζῶα ἐστὶ μακαριώτατα.

καὶ νοῦν ἔχοντα μᾶλλον ἀνθρώπου πολύ.

τὸν ὄνον ὁρᾶν ἔξεστι πρῶτα τουτονί.

οὗτος κακοδαίμων ἐστὶν ὁμολογουμένως.

τούτῳ κακὸν δι' αὐτὸν οὐδὲν γίγνεται.
ἃ δ' ἡ φύσις δέδωκε ταῦτ' ἔχει.
ἡμεῖς δὲ χωρὶς τῶν ἀναγκαίων κακῶν,
αὐτοὶ παρ' αὑτῶν ἕτερα προσπορίζομεν.
λυπούμεθ' ἂν πτάρῃ τις. ἂν εἴπῃ κακῶς
ὀργιζόμεσθ'. ἂν ἴδῃ τις ἐνύπνιον,
σφόδρα φοβούμεθ'. ἂν γλαὺξ ἀνακράγῃ δεδοί
ἀγωνίαι. δόξαι. φιλοτιμίαι. νόμοι. (καμεν.
ἅπαντα ταῦτ' ἐπίθετα τῇ φύσει κακά.

ΤΟΥ ΑΥΤΟΥ.

τὸ ἀργύριον εἶναι μειράκιόν σοι φαίνεται
οὐ τῶν ἀναγκαίων καθ' ἡμέραν μόνον
τιμὴν παρασχεῖν δυνατὸν, ἄρτων. ἀλφίτων.
ὄξους. ἐλαίου. μείζονος ἄλλου τινός.
ἀθανασίας δ' οὐκ ἔστιν. οὐδ' ἂν συναγάγῃς
τὰ Ταντάλου τάλαντα ἱκανὰ λεγόμενα.
ἀλλ' ἂν ἀποθάνῃς, ταῦτα καταλείψεις τισίν.
τί οὖν λέγω μήτ' αὐτὸς εἰ σφόδρ' εὐπορεῖς
πίστευε τούτῳ. μήτε τῶν πτωχῶν πάλιν
ἡμῶν καταφρόνει. τοῦ δ' εὐτυχεῖν δ' ἀεὶ,

παρέχε σαυτὸν τοῖς ὁρῶσιν ἄξιον.

## ΜΗΤΡΟΔΩΡΟΥ.

μητρόδωρος εἶπεν. ἐν πόλει μήτε ὡς λέων ἀνα
στρέφου, μήτε ὡς κώνωψ. τὸ μὲν γὰρ ἐκπα
τεῖται. τὸ δὲ καιροφυλακεῖται.

## ΜΝΑΣΕΟΥ.

μνασέας ὁ παταρεὺς τοὺς αἰγιεῖς φησὶ τοὺς ἐν
τῇ ἀχαΐᾳ νίκην ἀραμένους κατὰ τῶν αἰτωλῶν διὰ
ναυμαχίας, τὴν πεντηκόντορον τούτων ναῦν ἀνα
θέσθαι πυθοῖ. καὶ ἐπαρθέντας ἐπὶ τῇ νίκῃ, ἐρω
τῆσαι τίνες τῶν ἑλλήνων ἐπ' ἀνδρείᾳ κρείττους
εἰσί. τὴν δὲ πυθίαν τοῦτον ἐξενεγκεῖν τὸν χρησμόν.

γαίης μὲμ πάσης τὸ πελασγικὸμ ἄργος ἄμεινομ.
ἵπποι θετταλικαί. λακεδαιμόνιαι δὲ γυναῖκες.
ἄνδρες δ' οἳ πίνουσιν ὕδωρ καλῆς ἀρεθούσης.
ἀλλ' ἔτι καὶ τῶν εἰσὶν ἀμείνονες, οἳ τὸ μεταξὺ
τίρυνθος ναίουσι καὶ ἀρκαδίης πολυμήλου.
ἀργεῖοι λινοθώρηκες κέντρα πτολέμοιο.
ὑμεῖς δ' αἰγιέες οὔτε τρίτοι. οὔτε τέταρτοι.
οὔτε δυωδέκατοι. οὔτ' ἐν λόγῳ. οὔτ' ἐν ἀριθμῷ.

## ΜΝΗΣΙΜΑΧΟΥ.

μνησίμαχος ὁ κωμικὸς περὶ ὕπνου διαλεγόμε
νος φησίν. ὕπνος τὰ μικρὰ τοῦ θανάτου μυστήρια.
ὁ μὲν γὰρ θάνατος ἀπὸ ἰσχυρᾶς γίνεται καὶ τε
λείας λύσεως σώματος. ὁ δὲ ὕπνος, ἀπὸ μι
κρᾶς καὶ καιρὸν ἐχούσης. ἀμφότεροι δὲ κακῶν
ἀναπαύουσι. καὶ ὁ μὲν χωρίζει ψυχήν. ὁ δὲ συ
στέλλει μικρόν. καὶ ὁ μὲν διαλύει αἰσθήσεις. ὁ δὲ
στερίσκει μόνον. διατρίβει δ' ὁ ὕπνος ἐν λήμνῳ ὡς
> ὅμηρος ἰλιάδος. ξ'. λῆμνον δ' εἰσαφίκανε πό
> λιν θείοιο θόαντος. ἔνθ' ὕπνῳ ξύμβλητο κα
> σιγνήτῳ θανάτοιο. ὅτι λήμνου μὲν ἦν δε
σπότης ὁ ἥφαιστος. γυνὴ δὲ τούτου, χάρις.
πασιθέας δὲ τῆς χάριτος ἀδελφῆς ἐρωτι
κῶς ἔχων ὁ ὕπνος, ἐκεῖσε διέτριβε. ταύτην δὲ
αὐτῷ ἐπαγγέλλεται γυναῖκα δώσειν ἡ ἥρα. γί
γνεται δὲ καὶ φυσικώτερον. ὅτι οἰνοφόρος ἡ
> λῆμνος. καθὼς λέγει. νῆες δ' ἐκ λήμνοιο
> παρέστασαν οἶνον ἄγουσαι. τοῖς δὲ πολυπο
τοῦσιν, ὁ ὕπνος μάλιστα ἕπεται.

## ΜΙΝΔΑΡΟΥ.

Μίνδαρος ὁ τῶν λακεδαιμονίων ναύαρχος ἀπὸ
τῆς ἥττης φυγὼν εἰς ἄβυδον, τὰς πεπονηκυίας
ναῦς ἐπεσκεύασε. καὶ πρὸς τὰς ἐν εὐβοίᾳ τριή-
ρεις, ἀπέστειλεν ἐπικλέα τὸν σπαρτιάτην προ-
στάξας ἄγειν ταύτας τὴν ταχίστην. ὃς ἐπεὶ κατέπλευσεν
εἰς εὔβοιαν, ἀθροίσας τὰς ναῦς οὔσας πεντήκον-
τα, κατὰ σπουδὴν ἀνήχθη. καὶ κατὰ τὸν ἄθω γενο-
μένων τῶν τριηρῶν, ἀπεγεννήθη χειμὼν τηλικοῦ-
τος, ὥστε τὰς ναῦς ἁπάσας ἀπολέσθαι. τῶν
δὲ ἀνδρῶν δώδεκα μόνους διασωθῆναι. δη-
λοῖ δὲ τὸ περὶ τούτων ἀνάθημα κείμενον ἐν
τῷ περικορώνειαν νεώ. καθάπερ φησὶν ἔφο-
ρος, τὴν ἐπιγραφὴν ἔχον ταύτην.

Οἱ δ᾽ ἀπὸ πεντήκοντα νεῶν θάνατον προφυγόντες,
πρὸς σκοπέλοις ἄθω. σώματα γῇ πέλασαν.
δώδεκα. τοὺς δ᾽ ἄλλους ὤλεσε μέγα λαῖτμα θα-
νῆας στυγεροῖς πνεύμασι χρησαμένας. (λάσσης,

## ΜΟΣΧΙΩΝΟΣ.

Ξυνέστι δόξῃ πρόσθεν. καὶ γένει μέγας

Ἀργείους δυνάστης, λιτὸς ἐκ τυραννικῶν
θρόνων, προσαίτην θάλλον ἠγκαλισμένος,
ἔστειχεν εἰς γῆν, σῶμα συμπαθὲς φέρων.
καὶ πᾶσι δεικνὺς ὡς τὰ λαμπρὰ τῆς τύχης,
τὴν κλῆσιν οὐ βέβαιον ἀνθρώποις νέμει.
ὃν πᾶς ἀστῶν ἠλέησεν εἰσιδών.
Ἅπας δὲ χεῖρα καὶ προσήγορον φάτιν
ὤρεξε. κανθούς τ' ἐξέτηξε δακρύοις.
τύχαις συναλγῶν. τἀξίωμα γὰρ νοσοῦν
τὸ πρόσθεν, πολλοῖς οἶκτον εὐπρεπέστερον.

ΜΥΡΩΝΙΔΟΥ.

Μυρωνίδης παρήγγελεν ἔξοδον ἀθηναίοις ἐπὶ βοιωτοὺς στρατεύων. ἐνστάσης δὲ τῆς ὥρας. καὶ τῶν λοχαγῶν λεγόντων μηδέπω πάντας παρεῖναι, πάρεισιν εἶπεν οἱ μέλλοντες μάχεσθαι. καὶ χρησάμενος αὐτοῖς προθύμοις, ἐνίκησε τοὺς πολεμίους.

ΜΩΛΥ. ΟΔΥΣΣΕΙΑΣ, Κ'.

τὸ μῶλυ ἀλληγορεῖται πρὸς τὴν παιδείαν. ἧς ἡ μὲν ῥίζα μέλαινα, διὰ τὸ οἷον σκοτεινὸν καὶ δυσόρατον τοῦ τέλους. τὸ δὲ ἄνθος λευκὸν καὶ τὰ γά-

λα διὰ τὸ τοῦ τέλους φαιδρότητα. καὶ λαμπρό-
τητα. ἤδη δὲ ἢ δὺ καὶ ῥόφιμον. ἐκ γαίης δὲ ὀ-
ρύσας, ἀντὶ τοῦ ἐπικύψας αὐτόθεμ λαμβάνει,
ὥσπερ τι εὐπόριστομ φάρμακον. ἐπεὶ οὐχ ἐμ
τινι τόπῳ τὰ τῆς παιδείας περιγέγραπται.
ἀλλ᾽ ὅποι περ ἂν γένοιτό τις ἔστιμ εὑρεῖν τὸ κα-
λὸμ τοῦτο φυτόμ. μῶλυ δέ φασι λέγεται πα-
ρὰ τὸ μωλύειν. ὅ ἐστιν ἀφανίζειν τὰ φάρμακα.
ἀλέξανδρος δὲ ὁ πάφιος μυθολογεῖ πικόλαον
ἕνα τῶν γιγάντωμ φυγόμτα τὸν κατὰ διὸς
πόλεμον, τὴν τῆς κίρκης νῆσομ καταλαβεῖμ.
καὶ πειρᾶσθαι ἐκβαλεῖν αὐτήν. τὸν πατέρα δὲ
ἥλιομ ὑπερασπίζοντα τῆς θυγατρὸς, ἀνελεῖμ
αὐτόμ. καὶ τοῦ αἵματος ῥυέντος εἰς γῆμ, φῦναι
βοτάνημ. καὶ κληθῆναι μῶλυ, διὰ τὸμ μῶλον.
ὅ ἐστι πόλεμον ἐν ᾧ ἔπεσεν ὁ γίγας. χαλεπὸν
δέ τὸ ὀρύσσειν μέχρι πείρατος ῥίζης. ἐπεὶ παι-
δείας ἄκρον δυσχερὲς ἐξευρεῖν. μυθικῶς δὲ,
ἐπειδή φησιν ἑλκόμενον, θάνατομ ἐπιφέρει τῷ
ἀνασπῶντι. ὡς καὶ μαμδραγόρας. θεοὶ δέ τε

πάντα δύνανται, ἐπεὶ θεὸς δ᾽ ὅτομ ἀγαθόμ, ἡ παιδεία. ἑρμείας δ᾽ ἔπειτ᾽ ἀπέβη. ἅτε δὴ οὐράνιον ὢμ ἀγαθόμ.

ΝΑΥΚΡΑΤΟΥΣ.

Ναυκράτης ὁ σοφὸς τοὺς ὀξυθύμους ἔφη παραπλήσιομ τοῖς λύχνοις πάσχειμ. καὶ γὰρ τούτους πλείομι ἐλαίῳ ἐκκαίεσθαι.

ΝΑΥΜΑΧΙΟΥ.

κεδνὰ κακοὶ φθείρουσι γυναικῶμ ἤθεα μῦθοι.
μὴ σύ γε χρυσῷ περιμαίνεο. μήτ᾽ ἐπὶ δειρῆς
πορφυρέημ ὑάκινθον ἔχοις. ἢ χλωρὸμ ἴασπιν.
τοῖς, ἐπιφυσιόωσι χαλίφρονες. ἀλλὰ σὺ κόσμου
παρθένε τηΰσίου μὴ δεύεο. μὴ δὲ κατόπτρου,
χείλια κρίνουσα τεὴν αὐγάζεο μορφήν. γράς.
μὴ δὲ κόμης πέρι. ἀλλὰ πολυσχιδέας πλέκε σειράς
μὴ δὲ μέλαινε τεοῖς ὑπὸ βλεφάροισιν ὀπωπάς.
οὐ γὰρ θηλυτέραις δέμας ὤπασεν ἡμιτέλεστον
μορφήν. ὄφρα καὶ ἄλλα περὶ χροῒ τεχνήσαιντο.
πῶς δ᾽ ἂν κούρα δύναιο δαΐφρονι φωτὶ φανῆναι
θνητὴ ἐφ᾽ ἡμέρῃ κομιδῇ χρόα ποικίλλουσα.
ἐξ ἑτέρης ἑτέρην ὗσε, καὶ ἄλλην ἀπολελεύασο.

φαινομένην πολλῆσι μίαν μορφῆσι γυναῖκα.

ΝΕΟΓΤΟΛΈΜΟΥ.

νεοπτόλεμος ὁ ῥαψῳδὸς ἐν τῷ βασιλικῷ πότῳ φιλίππου προστάξαντος εἰπεῖν τί τῶν ἀνηκόντων πρὸς τὴν τῶν περσῶν στρατείαν, ἤρξατο λέγειν τόδε τὸ ποίημα.

φρονεῖτε νῦν αἰθέρος ὑψηλότερον.
καὶ μεγάλων πεδίων ἀρούρας,
φρονεῖτε. ὑπερβαλλόμενοι δόμων δόμους.
ἀφροσύνᾳ πρόσω βιοτὰν τεκμαιρόμενοι.
ὁ δ' ἀμφιβάλλει ἕρπων σκοτίαν.
ἄφνω δ' ἄφαντος προσέβα
μακρὰς ἀφαιρούμενος ἐλπίδας.
θνατῶν πολύμοχθος ἀΐδας.

νεοπτόλεμον τὸν τῆς ῥαψῳδίας ὑποκριτὴν ἤρετό τις τί θαυμάζοι τῶν ὑπ' αἰσχύλου λεχθέντων. ἢ σοφοκλέους. ἢ εὐριπίδου. οὐδὲν μὲν τούτων εἶπεν. ὃ δ' αὐτὸς ἐθεάσατο ἐπὶ μείζονος σκηνῆς. φίλιππον ἐν τοῖς τῆς θυγατρὸς κλεοπάτρας γάμοις πομπεύσαντα. καὶ τρισκαιδέκατον θεὸν ἐπικλη

θέντα, τῇ ἑξῆς ἐπισφαγέντα ἐν τῷ θεάτρῳ ἢ ἐρριμένον.

ΝΕΟΠΤΟΛΈΜΟΥ.

ὦ θάνατ᾽ εἴθ᾽ ἔλθοις αὐτάγρετος ὄφρ᾽ ἂν ἑλοίμην, πρῶτ᾽ ἴσον. καί κ᾽ ἐχθρὸς ἐὼν, πολυφίλτατος εἴης. νεῖλος ἀνθρώπων. οὐ παύεται λογισμοὺς ἡ διάνοια τίκτουσα. σὺ δὲ τοὺς μὲν φαύλους, ἐκτίλλε. τοὺς δὲ ἀγαθοὺς, γεώργει.

ΝΙΚΟΚΛΈΟΥΣ.

Νικοκλῆς, κακοῦ τινὸς ἰατροῦ λέγοντος ὅτι μεγάλην ἔχει δύναμιν, πῶς γὰρ οὐ μέλλεις λέγειν ἔφη, ὃς τοσούτους ἀνῃρηκὼς, ἀνεύθυνος γέγονας; ὁ αὐτὸς τοὺς ἰατροὺς εὐτυχεῖς ἔλεγεν. ὅτι τὰς μὲν ἐπιτυχίας αὐτῶν, ἥλιος ὁρᾷ. τὰς δὲ ἀποτυχίας, ἡ γῆ καλύπτει.

ΝΙΚΌΣΤΡΑΤΟΣ ΕἾΠΕΝ.

Οὐκ ἔστιν ὅστις πάντ᾽ ἀνὴρ εὐδαιμονεῖ.
νὴ τὴν ἀθηνᾶν, συντόμως γε φίλτατε
εὐριπίδη τὸν βίον ἔθηκας εἰς στίχον.

ΝΙΚΟΣΤΡΆΤΟΥ.

Νικόστρατος ὁ τῶν ἀργείων στρατηγὸς, ὑπὸ ἀρχιδάμου χωρίον τι προδοῦναι παρακαλού-

μενος ἐπὶ χρήμασι πολλοῖς, καὶ γάμῳ λακαίνης ἣν βούλεται δίχα τῶν βασιλικῶν, ἀπεκρίνατο μὴ εἶναι τὸν ἀρχίδαμον ἀφ' ἡρακλέους. τὸν μὲν γὰρ ἡρακλέα περιόντα τοὺς κακοὺς κολάζειν. ἀρχίδαμον δὲ, τοὺς ἀγαθοὺς κακοὺς ποιεῖν.

## ΝΙΚΟΛΑΟΥ.

νικόλαος ὁ περιπατητικὸς φιλόσοφος. φησὶν ὅτι οἱ θύννοι τοὺς ναυαγοῦντας φιλανθρώπως δεχόμενοι, φίλους ποιοῦνται. τῶν δὲ ξένων τοὺς μὲν ἑκουσίως ἐλθόντας, σφόδρα τιμῶσι. τοὺς δὲ ἄκοντας κολάζονται. ὁ αὐτὸς ἔφη, ὁμοίαν εἶναι τὴν ὅλην παιδείαν, ἀποδημίᾳ. ὡς γὰρ ἐν ταύτῃ προσσυμβαίνει τοῖς ἀποδημοῦσι. καὶ μακρὰν ὁδὸν διεξιοῦσιν, ὅπου μὲν ἐγκατάγεσθαί τε καὶ ἐναυλίζεσθαι μόνον, ὅπου δὲ ἐναριστᾶν. ὅπου δὲ πλείους ἐνδημεῖν ἡμέρας. ἐνίους δὲ τόπους ἐκ παρόδου θεωρεῖν, ἐπανελθόντας μέντοι ταῖς ἑαυτῶν ἐνοικεῖν ἑστίαις, οὕτω καὶ διὰ τῆς ὅλης παιδείας διερχομένους, δεῖν ἐν οἷς μὲν ἐπιτηδεύμασιν ἐπιπλέον ἐνδιατρίβειν. ἐν οἷς

δ' ἐπ' ἔλαττον. καὶ τὰ μὲν ὅλα. τὰ δὲ ἐκ μέρους.
τὰ δὲ, ἄχρι στοιχειώσεως παραλαμβάνειν. καὶ
τὸ ἐκείνων χρήσιμον κατασχόντας, ἐπὶ τὴν ὡς
ἀληθῶς πατρῴαν ἑστίαν ἀνελθόντας φιλοσο
φεῖν.

ΞΑΝΘΟΥ.

Ξάνθος ὁ σοφὸς θεασάμενος ἐπὶ θύραις εὐπρε
πους γυναικὸς ἄνδρα οἰκοφθόρον, ἔφη. οὗτος
ἡδονὴν μικρὰν ὠνεῖται, κινδύνου μεγάλου.

Ξανθίππη ἔλεγε. μυρίων μεταβολῶν τὴν πόλιν
καὶ αὐτοὺς κατασχουσῶν, ἐν πάσαις ὅμοιον τὸ
σωκράτους πρόσωπον. καὶ προϊόντος ἐκ τῆς οἰ
κίας. καὶ ἐπανιόντος θεάσασθαι. ἥρμοστο γὰρ
πρὸς πάντα ἐπιεικῶς. τοιγάρτοι οὐδὲν πώ
ποτε ἐλύπησεν αὐτόν.

ΞΕΝΟΚΡΑΤΟΥΣ.

Ξενοκράτης ἐρόμενος τὴν παρ' αὐτῷ φιλοσοφεῖν
νέον βουλόμενον, εἰ γεγεωμέτρηκεν. εἰ μουσικῆς
ἐπακήκοεν. ὡς οὐκ ἔφη, ἀπιέναι πάλιν αὐτὸν
ἐκέλευσεν. οὐκ ἔχειν γὰρ λαβὰς πρὸς φιλοσο
φίαν. ὁ αὐτὸς, διαιρῶν ἕκαστον τῆς ἡμέρας
εἰς πρᾶξιν τινὰ, καὶ τῇ σιωπῇ μέρος ἀπένειμεν.

ΞΕΝΟΦΑΝΟΥΣ.

ξενοφάνης, τοὺς ἐπὶ τῶν πλείων φαινομένους οἷομ ἀστέρας νεφέλια εἶναι κατὰ τὴμ ποιὰμ κίνησιμ παραλάμποντας. μητρόδωρος τῶν ὁρώντων ὀφθαλμῶν μετὰ δέους καὶ καταπλήξεως εἶναι στιλβηδόνας.

ΞΕΝΟΦΩΝΤΟΣ.

ξενοφῶν ἀθηναῖος ὁ γρύλλου, ἔφη. τὸ μὲν πῦρ τοὺς ἁψαμένους καίει μόνον. οἱ δὲ καλοὶ, καὶ τοὺς μακρὰν ἑστῶτας ὑφάπτουσιν. ἡ γὰρ ὄψις, λαβὴ τοῦ πάθους ἐστί. ξενοφῶντι θύοντι, ἧκέ τις ἐκ μαντινείας ἄγγελος, λέγων τὸν υἱὸμ αὐτοῦ τὸν γρύλλομ τεθνάναι. κἀκεῖνος, ἀπέθετο μὲν τὸν στέφανον. διετέλει δὲ θύων. ἐπεὶ δὲ ὁ ἄγγελος προσέθηκε τῷ προτέρῳ λόγῳ, ὅτι νικῶμ τέθνηκε, πάλιν ὁ ξενοφῶμ ἐπέθετο τὸν στέφανον. ξενοφῶμ ἔλεγε τὴν πενίαν, σοφίαμ αὐτοδίδακτον. ὃ γὰρ ἐκείνη τοῖς λόγοις πείθει, αὐτὴ τοῖς ἔργοις ἀναγκάζει. ὁ αὐτὸς ἔλεγεν. οὐ τὸ μὴ λαβεῖν τὰ ἀγαθὰ οὕτω χαλεπόν, ὡς τὸ λαβόντα στερηθῆναι.

ὁμήρου.

ὅμηρος ἡσιόδῳ ἐρωτήσαντι, πόσον τὸ τῶν ἑλλή
νων πλῆθος, ὃ κατὰ τὴν τροίαν ἐστράτευσεν, εἶπεν.
ἑπτ' ἔσαν μαλεροῦ πυρὸς ἐσχάραι. ἐν δὲ ἑκά
» στῃ πεντήκοντ' ὀβελοί. περὶ δὲ κρέα πεμπτή
» κοντα. τρὶς δὲ ἐννακόσιοι περὶ ἓν κρέας ἦσαν
» ἀχαιοί. ὁ αὐτὸς εἶπεν ἐν ἱμάντι κατεστῖχθαι
» τὰ ἐρωτικά. ἰλιάδος ξ. ἔνθ' ἔνι μὲν φιλότης.
» ἐν δ' ἵμερος. ἐν δ' ὀαριστύς, ἐπειδὴ πληγῶν ἄ
ξια δρῶσιν οἱ ἐρῶντες. ἢ ὅτι δεσμοῖς ἐοίκασι
καὶ βρόχοις οἱ ἔρωτες καὶ τὰ τῶν ἐρώτων πάθη.
ἢ ὅτι ἄχρι τοῦ δέρματος διικνεῖται τὰ ἐρωτι
κὰ πάθη, τήκοντα τοὺς ἐρῶντας καὶ ἀποξύον
τα διὰ τῆς στύψεως τὰ μέλη. ὁ αὐτὸς ἰλιά
» δος π. κεῖται σαρπηδὼν λυκίων ἀγὸς ἀσπι
» στάων. ὃς λυκίην εἴρυτο δίκῃσί τε καὶ σθένεϊ ᾧ.
ταῦτα γὰρ σώζει τὸ μὲν, πόλιν καὶ οἰκήτορας
τὸ δὲ, ἀπείργει τοὺς πολεμίους. καὶ αἰσχύλος.
ὅπου γὰρ ἰσχὺς συζυγοῦσι καὶ δίκη,
ποία ξυνωρὶς τῶνδε καρτερωτέρα.

τὴν δίκην δὲ προτάσσει, ὡς μᾶλλον τῶν ἄλλων ἁρμόζουσαν βασιλεῖ. αὐτῶν, νεκύων κατατεθνειώτων εἰπόντος, ὁ παλαιὸς ἐκεῖνος ἀστεῖος ὁ τοὺς χλωροὺς ἀνθρώπους νεκροὺς ὀνομάσας, εἴποι ἂν ἐντεῦθεν λαβὼν τὴν ἀρχήν, ὡς τῶν τοιούτων παρ' αὐτῷ νεκρῶν οὐ τεθνεώτων. ἱστορεῖ γάρ τινα ἀθηναῖος βαρὺν δοκοῦντα ὅτι ἔσκωπτε τόπον τινὰ ὡς νοσερόν, φάναι πρὸς τοὺς αἰτιωμένους ἐποίκους, ὡς καὶ πῶς ἂν πόλιν ἐρεῖ νοσώδη, ἔνθα καὶ οἱ νεκροὶ περιπατοῦσιν. ὅτι ἡ ἀλήθεια κάλλιστον καὶ ἐν θεοῖς ὑπάρχει μέγιστον, δηλοῖ διὰ τῶν ἐπῶν τούτων, ὅμηρος. τοῦτο γὰρ ἐξ ἐ

, μέθεν γε μετ' ἀθανάτοισι μέγιστον τέκμωρ.
, οὐ γὰρ ἐμὸν παλινάγρετον. οὐδ' ἀπατηλόν.
, οὐδ' ἀτελεύτητον, ὅ, τι κεν κεφαλῇ κατανεύ
, σω. φησὶν γὰρ αἰτίων οὐσῶν, δι' ἃς ἄνθρωποι παρα

βαίνουσιν ὑποσχέσεις, καὶ ψεύδονται, ἢ γὰρ ἐξαπατῆσαι τις ἔφησεν· ἢ φήσας ὕστερον μετενόησεν, ἢ βουλόμενος ἐξησθένησεν. τούτων δὲ, τὸ μέν ἐστι φαύλης προαιρέσεως. τὸ δὲ, ἀσθενοῦς κρίσεως. τὸ δὲ, ἐνδεοῦς δυνάμεως. πάντα δὲ

ὁ θεὸς ἐκπέφευγε. τῷ φιλαγάθῳ, τὸ ἀπατηλόν. καὶ τῷ βεβαίῳ, τὸ παλινάγρετον. καὶ τῷ τελεσιουργῷ, τὸ ἀτελεύτητον.

ΟΙΝΟΠΙΔΟΥ.

Οἰνοπίδης εἶπε τὸν νοῦν, παραίτιον δαίμονα. τοῖς μὲν πεπαιδευμένοις ἀγαθόν. τοῖς δὲ ἀπαιδεύτοις, κακὸν εἶναι. ὁ αὐτὸς ὁρῶν μειράκιον πολλὰ βιβλία κτώμενον, ἔφη. μὴ τῇ κιβωτῷ. ἀλλὰ τῷ στήθει. ὁ αὐτὸς ἔλεγε τὰ βιβλία, τῶν μὲν μεμαθηκότων ὑπομνήματα. τῶν δὲ ἀμαθῶν, μνήματα. ὁ αὐτὸς ἔλεγεν ὁποία ἡ φύσις τοῦ ἀνθρώπου ἐστί, τοιοῦτον εἶναι καὶ τὸν λόγον ἀνάγκη.

ΠΑΥΣΑΝΙΟΥ.

Παυσανίας ὁ πλειστάνακτος, πρὸς τὸν ἐρωτήσαντα διατί τῶν ἀρχαίων νόμων οὐδένα κινεῖν ἔξεστι παρ' αὐτοῖς; ὅτι τοὺς νόμους ἔφη τῶν ἀνδρῶν. οὐ τοὺς ἄνδρας τῶν νόμων κυρίους εἶναι δεῖ. ἐπαινοῦντος δὲ αὐτοῦ ἐν τεγέᾳ μετὰ τὴν φυγὴν τοὺς λακεδαιμονίους, εἶπέ τις. διατί οὖν οὐκ ἔμενες ἐν σπάρτῃ ἀλλ' ἔφυγες; ὅτι οὐδ' οἱ ἰατροὶ ἔφη παρὰ τοῖς ὑγιαίνουσιν. ὅπου δ' οἱ νοσοῦντες διατρίβειν εἰώθασιν.

ἰατροῦ δ' ἐπισκεπτομένου αὐτὸν, καὶ εἰπόντος
οὐδὲν κακὸν ἔχεις, οὐ γὰρ σοὶ ἰατρῷ ἔφη χρῶμαι.
μεμφομένου δέ τινος αὐτῷ τῶν φίλων, διότι ἰατρόν
τινα κακῶς λέγει, πεῖραν οὐκ ἔχων αὐτοῦ, οὐδὲ ἀ-
δικηθείς τι, ὅτι εἶπεν εἰ ἔλαβον αὐτοῦ πεῖραν, οὐκ
ἂν ἔζων.

ΠΑΙΔΑΡΕΤΟΥ.

Παιδάρετος, λέγοντός τινος, ὅτι πολλοί εἰσιν οἱ πο-
λέμιοι, οὐκοῦν ἔφη ἡμᾶς εὐκλεέστεροι ἐσόμε-
θα. πλείους γὰρ ἀποκτενοῦμεν. ὁ αὐτὸς οὐκ ἐγ-
κριθεὶς εἰς τοὺς τριακοσίους, ἥτις ἦν ἐμ τῇ πόλει
πρωτεύουσα τιμὴ τῇ τάξει, ἱλαρὸς καὶ μειδιῶν
ἀπῄει. χαίρειν λέγων εἰ τριακοσίους ἡ πόλις ἔχει
πολίτας, ἑαυτοῦ βελτίονας.

ΠΕΛΟΠΙΔΟΥ.

Πελοπίδας ὁ συστρατηγὸς Ἐπαμινώνδου, τῶν φί-
λων αὐτὸν ἀμελεῖν λεγόντων πράγματος ἀναγ-
καίου χρημάτων συναγωγῆς, ἀναγκαῖα τὰ χρήμα-
τα νὴ Δία εἶπε τούτῳ μικομίδει. δείξας χω-
λὸν καὶ ἀνάπηρον ἄνθρωπον. ἐπὶ μάχην ἐξιόν-
τος αὐτοῦ, καὶ τῆς γυναικὸς δεομένης σῴζειν ἑ-
αυτόν, ἄλλοις ἔφη δεῖν τοῦτο παραινεῖν. ἄρχοντι

δὲ καὶ στρατηγῶ, σώζειν τοὺς πολίτας. ὁ αὐτὸς, εἰπόντος τινὸς τῶν στρατιωτῶν ἐμπεπτώκαμεν εἰς τοὺς πολεμίους. τί μᾶλλον εἶπεν, ἢ εἰς ἡμᾶς ἐκεῖνοι. ὁ αὐτὸς, ἐπεὶ παρασπονδηθεὶς ὑπὸ ἀλεξάνδρου τοῦ φεραίων τυράννου, καὶ δεθεὶς, κακῶς αὐτὸν ἔλεγεν. εἰπόντος δ' ἐκείνου σπεύδεις ἀποθανεῖν; πάνυ μὲν οὖν εἶπεν. ἵνα μᾶλλον ἐπὶ σὲ παροξυνθῶσι θηβαῖοι, καὶ σὺ δίκην δῶς τάχιον.

ΠΕΡΙΚΛΕΟΥΣ.

περικλῆς, ὑπό τινος τῶν φίλων παρακαλούμενος ἐν πράγματί τινι οὐχ ὁσίῳ δοκοῦντι βοηθῆσαι ἐκείνῳ, ἔφη. δεῖ με συμπράττειν τοῖς φίλοις. ἀλλὰ μέχρι βωμῶν. ὁ αὐτὸς ὁπότε μέλλοι στρατηγεῖν, ἅμα λαμβάνων τὴν χλαμύδα πρὸς ἑαυτὸν ἔλεγε. πρόσεχε περίκλεις. ἐλευθέρων μέλλεις ἄρχειν ἑλλήνων, καὶ ἀθηναίων. ὁ αὐτὸς μέλλων ἀποθνήσκειν, ἑαυτὸν ἐμακάριζεν, ὅτι μηδεὶς ἀθηναίων ἱμάτιον μέλαν δι' αὐτὸν ἐνεδύσατο. ὁ αὐτὸς ἐκέλευσε τοὺς ἀθηναίους τὴν αἴγιναν ὥσπερ λήμην ἀφαιρεῖν τοῦ πει-

ρέως. ὁ αὐτὸς ἀλκιβιάδου ἐλθόντος ἐπὶ θύ
ρας αὐτοῦ. καὶ εἰπόντος αὐτῷ μὴ σχολάζειν, ἀλ
λὰ σκοπεῖν ὅπως ἀποδώσῃ λόγους ἀθηναίοις. οὐ
βέλτιον ἔφη σκοπεῖν ἦν, ὅπως μὴ ἀποδώσω;

ΕΥΠΟΛΙΔΟΣ.

περικλέης οὐλύμπιος ἤστραπτεν. ἐβρόντα. συνε
κύκα τὴν ἑλλάδα. πειθώ τις ἐκάθιζεν ἐπὶ τοῖς χεί
λεσιν. οὕτως ἐκήλει. καὶ μόνος τῶν ῥητόρων τὸ κέν
τρον ἐγκατέλιπε τοῖς ἀκροωμένοις.

ΑΡΙΣΤΟΦΑΝΟΥΣ.

ὦ πένητες καὶ γεωργοί. τἀμὰ τὶς ξυνιέτω ῥήματα.
› εἰ βούλεσθε ἀκοῦσαι τὴν δὲ ὅπως ἀπώλετο.
› πρῶτα μὲν γὰρ αὐτῆς ἦρξε φειδίας πράξας κα
› κῶς. εἶτα περικλῆς, φοβηθεὶς μὴ μετάσχῃ
› τῆς τύχης. ἐμβαλὼν σπινθῆρα μικρὸν μεγαρι
› κοῦ ψηφίσματος, ἐξεφύσησε τοσοῦτον πόλε
μον, ὥστε τῷ καπνῷ πάντας ἕλληνας δακρύ
σαι, τούς τ᾽ ἐκεῖ τούς τ᾽ ἐνθάδε. ΠΕΡΙΑΝΔΡΟΥ.

περίανδρος ἐρωτηθεὶς διατὶ οὐκ ἀποτίθεται τὴν
ἀρχήν, εἶπεν. ὅτι τῷ κατ᾽ ἀνάγκην ἀρχομένῳ.

καὶ τῷ ἑκουσίως ἀποστῆναι, κίνδυνον φέρει.

ΠΕΡΊΑΝΔΡΟΣ ΚΥΨΈΛΛΟΥ ΚΟΡΊΝΘΙΟΣ, ἔΦΗ.

μελέτα τὸ πᾶν. καλὸν ἡσυχία. ἐπισφαλὲς προπέτεια. κέρδος αἰσχρὸν, φύσεως κατηγορία. δημοκρατία κρεῖσσων τυραννίδος. αἱ μὲν ἡδοναὶ, θνηταί· αἱ δ' ἀρεταὶ ἀθάνατοι. μέτριος ἴσθι ἀτυχῶν δὲ φρόνιμος. φειδόμενον κρεῖττον ἀποθανεῖν, ἢ ζῶντα ἐνδεῖσθαι. σεαυτὸν ἄξιον παρασκεύαζε τῶν γονέων. ζῶν μὲν, ἐπαινοῦ. ἀποθανὼν δὲ μακαρίζου. φίλοις εὐτυχοῦσι καὶ ἀτυχοῦσιν, ὁ αὐτὸς ἴσθι. ὃν ἂν ἑκὼν ὁμολογήσῃς πονηρὸν, παράβαινε. λόγων ἀπορρήτων ἐκφορὰν μὴ ποιοῦ. λοιδόρει ὡς ταχὺ φίλος ἐσόμενος. τοῖς μὲν νόμοις, παλαιοῖς χρῶ. τοῖς δ' ὄψοις προσφάτοις. μὴ μόνον τοὺς ἁμαρτάνοντας κόλαζε, ἀλλὰ καὶ τοὺς μέλλοντας κώλυε. δυστυχῶν κρύπτε, ἵνα μὴ τοὺς ἐχθροὺς εὐφάνῃς.

ΠΙΤΤΑΚΟΥ.

Πιττακὸς ἀδικηθεὶς ὑπό τινος, καὶ ἔχων ἐξουσίαν αὐτὸν κολάσαι, ἀφῆκεν. εἰπὼν

συγγνώμη, τιμωρίας ἀμείνων. τὸ μὲν γὰρ ἡμέρου φύσεως ἐστί. τὸ δὲ, θηριώδους. ὁ αὐτὸς, τοὺς ἀγαθοὺς τῶν ἀνθρώπων, θεοῦ τι μέρος ἔλεγεν ἔχειν.

## ΠΙΤΤΑΚΟΣ ΜΙΤΥΛΗΝΑΙΟΣ, ΤΑΔΕ ΑΠΕΦΘΕΓΞΑΤΟ.

ἐγγύη πάρα δ᾽ ἄτα. φίλων παρόντων καὶ ἀπόντων μέμνησο. μὴ τὴν ὄψιν καλλώπιζε, ἀλλ᾽ ἐν τοῖς ἐπιτηδεύμασιν ἴσθι καλός. μὴ πλούτει κακῶς. μή σε διαβαλλέτω λόγος πρὸς τοὺς πίστεως κεκοινωνηκότας. κολακεύειν γονεῖς μὴ ὄκνει. ἢ προσδέχου τὸ φαῦλον. οἵους ἂν ἐράνους ἐνέγκῃς τοῖς γονεῦσι, τούτους αὐτοὺς ἐν τῷ γήρᾳ παρὰ τῶν τέκνων προσδέχου. χαλεπὸν τὸ εὖ γνῶναι. ἥδιον τὸ ἐπιθυμίας τυχεῖν.

ἀνιαρὸν ἀργία. κακὸν ἀκρασία. δίδασκε καὶ μάνθανε τὸ ἄμεινον. ἀργὸς μὴ ἴσθι. μηδ᾽ ἂν πλουτῇς τὴν εὐτυχίαν κρύπτε. φθόνου χάριν, μὴ οἰκτείρου, ἢ πᾶσι πίστευε. ΠΙΝΔΑΡΟΥ.

πινδάρου γράψαντος ἑλλάδος ἔρεισμ᾽ ἀθῆναι, λάκων ἔφη. καταπεσεῖν ἂν τὴν ἑλλάδα ὀχουμέ-

υην ἐρείσματι τοιούτῳ.

## ΠΛΑΤΩΝΟΣ.

Πλάτων ὀργισθεὶς ποτὲ τινὶ τῶν δούλων, χάριν ἔχειν τοῖς θεοῖς ἔλεγεν αὐτῷ, ὅτι ὀργίζεται, κολασθῆναι γὰρ ἂν πάντως, εἰ μὴ ὠργίζετο. ὁ αὐτὸς, ἄλλοτε ὀργιζόμενος τῷ οἰκέτῃ, ἐπιστάντος ξενοκράτους, λαβὼν ἔφη τοῦτον μαστίγωσον. ἐγὼ γὰρ ὀργίζομαι. φασὶ δὲ αὐτὸν καὶ ἐπανατείνόμενον τὴν χεῖρα τῷ παιδὶ, ἑστάναι χρόνον πολὺν μετέωρον ταύτην ἔχοντα. καὶ τὴν αἰτίαν ἐρωτώμενον, φῆσαι. κολάζειν τὸν ἐξ αὐτοῦ προορμήσαντα θυμόν. ὁ αὐτὸς λοιδορούμενος ὑπό τινος, λέγε ἔφη κακῶς. ἐπεὶ καλῶς οὐκ ἔμαθες. ὁ αὐτὸς εἶπεν. ἅπας ὁ ὑπὲρ γῆν καὶ ὑπὸ γῆν χρυσὸς, ἀρετῆς οὐκ ἀντάξιος. ὁ αὐτὸς εἶπεν. ἐσχάτη ἀδικία δοκεῖν δίκαιον εἶναι μὴ ὄντα. ὁ αὐτὸς εἶπε πενίαν ἡγητέον εἶναι, μὴ τὸ τὴν οὐσίαν ἐλάττω ποιεῖν. ἀλλὰ τὸ τὴν ἀπληστίαν πλείω. ὁ αὐτὸς, ἀντιθένους ἐν τῇ διατριβῇ περὶ μακρολογήσαντος, ἀγνοεῖς εἶπεν ὅτι τοῦ λόγου μέτρον ἐστὶν, οὐχ ὁ λέγων, ἀλλ᾽ ὁ ἀκούων.

ὁ αὐτὸς ἔφη πιόντα τὸν ἄνουν ἵλεω τότε ἢ πρότε-
ρον γενέσθαι. ἀγαθῶν τε ἐλπίδων καὶ δυνάμε-
ως πληροῦσθαι. παῤῥησίας γὰρ μεστοῦται. καὶ ἐ-
λευθερίας πάσης καὶ ἀφοβίας. καὶ τοῦ πρᾶξαί
τι ἀόκνως ἔχει. ὅθεν λακεδαιμόνιοι ἀκρατο-
ποτοῦντες ὁπλίζονται. ὁ αὐτὸς ἔφη πᾶσα ἐπι-
στήμη χωριζομένη δικαιοσύνης καὶ τῆς ἄλλης ἀ-
ρετῆς, πανουργία ἀλλ' οὐ σοφία φαίνεται. ὁ αὐ-
τὸς εἶπε. μεθύων κυβερνήτης, καὶ πᾶς παντὸς
ἄρχων, ἀναφέρει πάμτα. εἴ τε πλοῖον. εἴτε ἅρ-
μα. εἴτε στρατόπεδον. εἴτε ὅ, τι ποτὲ εἴη τὸ κυ-
βερνώμενον ὑπ' αὐτοῦ. ὁ αὐτὸς ἔφη. ἐπιστή-
μῃ γὰρ δεῖ κρίνεσθαι ἀλλ' οὐ πλήθει, τὸ μέλλομ
καλῶς κριθήσεσθαι. ΠΛΕΙΣΤΑΡΧΟΥ.

Πλείσταρχος λεωνίδου, συνηγόρου τινὸς γελοῖα λέ-
γοντος, οὐ φυλάξῃ ἔφη ὦ ξένε συνεχῶς γελοιά-
ζων, ὅπως μὴ γελοῖος γένῃ, ὥσπερ καὶ οἱ συνε-
χῶς παλαίοντες παλαισταί; ὁ αὐτὸς, λέγομτός
τινος ὅτι κακολόγος τις αὐτὸν ἐπήμει, θαυμά-
ζω εἶπεν. εἰ μή τις αὐτῷ εἶπεν ὅτι ἀπέθανον.

ζῶντα γὰρ ἐκεῖνος οὐδένα καλῶς λέξαι δύναται.

### ΠΛΕΙΣΤΩΝΑΚΤΟΣ.

Πλειστῶναξ ὁ Παυσανίου, Ἀττικοῦ τινος ῥήτορος ἀμαθεῖς ἀποκαλοῦντος τοὺς Λακεδαιμονίους, ὀρθῶς ἔφη λέγεις. ἡμεῖς γὰρ Ἑλλήνων μόνοι, οὐδὲν κακὸν μεμαθήκαμεν παρ' ὑμῶν.

### ΠΟΛΥΔΩΡΟΥ.

Πολύδωρος ὁ Ἀλκαμένους ἀπειλοῦντός τινος τοῖς ἐχθροῖς συχνά, οὐ συνίης ἔφη, τὸ πλεῖστον καταναλίσκων τῆς τιμωρίας. ὁ αὐτὸς ἐρωτηθεὶς διατί Σπαρτιᾶται κατὰ πόλεμον κινδυνεύουσιν ἀνδρείως; ὅτι ἔφη αἰδεῖσθαι τοὺς ἡγεμόνας ἔμαθον, οὐ φοβεῖσθαι.

### ΠΟΛΥΑΙΝΟΥ.

Πολύαινος ἔφη. ὅσῳ ἂν πλέον εὐεργετήσῃς τὸν φίλον, τοσούτῳ μᾶλλον τὸ σαυτοῦ συμφέρον ποιήσεις. ἀντιστρέφει γὰρ πάλιν εἰς ἡμᾶς ἡ ἀπ' ἐκείνων εὔνοια.

### ΠΛΟΥΤΑΡΧΟΥ.

Πλούταρχος ἔφη. οὔτε πίπτοντος ἐστὶν ὀρθοῦν. οὔτε διδάσκειν ἀγνοοῦντος. οὔτε ἀκοσμοῦντος κοσμεῖν. ἢ τάττειν ἀτακτοῦντος. ἢ ἄρχειν μὴ ἀρχομένου.

πυθαγόρας ἔλεγε, δεῖ φυγαδεύειν πάντα τρόπον
καὶ ἐκκόπτειν τὴν νόσον ἀπὸ τοῦ σώματος. τὴν ἀ-
παιδευσίαν ἀπὸ τῆς ψυχῆς. τὴν ἀσέλγειαν, ἀ-
πὸ τῆς γαστρός. τὴν στάσιν, ἀπὸ τῆς πόλεως. τὴν
διαφωνίαν, ἀπὸ τῆς οἰκίας. καὶ κοινῇ, ἀπὸ πάν-
των, τὸ ἀκρατές. ὁ αὐτὸς, ἐρωτώμενος τί ἐστι
φίλος, ἔλεγεν ἄλλος ἐγώ. ὁ αὐτὸς εἶπεν, εἰσιέ-
ναι εἰς τὰς πόλεις πρῶτον τρυφήν. ἔπειτα κόρον.
εἶτα ὕβριν. παρὰ δὲ ταῦτα ὄλεθρον. ὁ αὐτὸς
τῶν πόλεων ἐκείνην εἶπεν ἀρίστην, τὴν ἄνδρας ἀ-
γαθοὺς ἐχούσαν. ὁ αὐτὸς, τούτους ἔφη καθιστά-
ναι ἄρχοντας, οἵτινες ἐκ παίδων καλῶς ἤ-
χθησαν. καὶ εἰς ἡλικίαν ἐλθόντες, μὴ γεγόνασι
προδόται τῆς αὐτῶν ἡλικίας, λήμματος χάριν.
ὁ αὐτὸς ἔλεγε τὴν μέθην, μανίας εἶναι μελέτην.
ὁ αὐτὸς ἔφη ζητεῖν δεῖ. καὶ ἄνδρα. καὶ τέκνα. καὶ φί-
λους τοὺς κατὰ τὴν ἀπαλλαγὴν τοῦ βίου παρα-
μένοντας. ὁ αὐτὸς ἔφη. ἃ μὴ δεῖ ποιεῖν. μη-
δὲ ὑπονοεῖ ποιεῖν. ὁ αὐτὸς εἶπεν. λείσω συ

νεται. θύρας δὲ ἐπιθέσθε βέβηλοι. ὁ αὐτὸς ἔλεγε, ξένος ἀνὴρ δίκαιος οὐ μόνον πολίτου, ἀλλὰ καὶ συγγενοῦς διαφέρει. ὁ αὐτὸς ἔλεγε μεγάλην παιδείαν νομίζειν, δι' ἧς δυνήσῃ φέρειν ἀπαιδασίαν. ὁ αὐτὸς εἶπεν. οἱ μὴ κολάζοντες τοὺς κακοὺς, βούλονται ἀδικεῖσθαι τοὺς ἀγαθούς. ὁ αὐτὸς ἐρωτηθεὶς τί ποιοῦσιν ἄνθρωποι θεῷ ὅμοιον, ἔφη. ἐὰν ἀληθεύωσιν. οἱ δὲ μάγοι ἀποφαίνονται τοῦ μεγίστου τῶν θεῶν ὃν ὠρομάσδην καλοῦσιν, ἐοικέναι τὸ μὲν σῶμα φωτί. τὴν δὲ ψυχὴν, ἀληθείᾳ. ὁ αὐτὸς εἶπεν, ἢ σιγὴν καίριον ἔχειν. ἢ λόγον ὠφέλιμον. ὁ αὐτὸς ἔφη. καλόν ἐστι συζῆν γυναικὶ θυμώδει χάριν ἀσκήσεως. καὶ γὰρ τοὺς ἱππέας ἐθίζεσθαι δεῖ τραχέσιν ἵπποις κεχρῆσθαι. τούτων γὰρ κρατήσαντες, καὶ τῶν ἄλλων ῥᾳδίως κρατήσουσιν.

ΠΑΤΡΟΚΛΕΟΥΣ.

Καὶ νῦν τὰ δῆμα ταῦτα καὶ τὰ πολλ' ἔπη,
εἰς τόδε μόνον τεῦχος ἤθροισε τύχη.
τί δῆτα θνητοὶ πόλλ' ἀπειλοῦμεν μάτην,
δεινοὺς ἐπ' ἀλλήλοισι πέμποντες λόγους.

καὶ πάντα συνοοῦμεν ἐκ πράξεων χερί.
πρόσω βλέποντες. τὴν δὲ πλησίον τύχην
οὐκ ἴσμεν. οὐδ᾽ ὁρῶμεν ἀθλίου μόρου.

ΡΩΜΑΙΟΥ.

ῥωμαῖος ὑπὸ τῶν φίλων νουθετούμενος, ὅτι σώ
φρονα καὶ πλουσίαν, καὶ ὡραῖαν ἀπεπέμψατο.
τὸ καλλίγιον αὐτοῦ προτείνας, καὶ γὰρ τοῦτο
ἔφη, καλὸν ἰδεῖν καὶ καινόν. ἀλλ᾽ οὐδεὶς οἶδεν
ὅπου με θλίβει. δεῖ τοίνυν μὴ προικὶ μηδὲν.
μὴ δὲ κάλλει τὴν γυναῖκα πιστεύειν, ἀλλ᾽ ἐν οἷς
ἅπτεται μάλιστα τοῦ ἀνδρὸς, ὁμιλίᾳ καὶ ἤθει, καὶ
συμπεριφορᾷ. ταῦτα μὴ σκληρά. μὴ δὲ ἀνιῶν
τα καθ᾽ ἡμέραν ἀλλ᾽ εὐάρμοστα. καὶ ἄλυπα. καὶ
προσφιλῆ παρέχειν.

ΟΙ ΕΚ ΜΟΥΣΩΝ, ΟΥΤΟΙ ΕΙΣΙ.

ῥῆσος, εὐτέρπης. ὀρφεὺς, καλλιόπης, ἢ κλειοῦς.
λίνος, τερψιχόρης. θρᾷξ, θαλείας. παλαίφα
τος, ἐρατοῦς. θάμυρις, μελπομένης. σειρῆ
νες, πολυμνείας.

ΛΙΝΟΥ.

ῥάδια πάντα θεῷ τελέσαι, καὶ ἀνήνυτον οὐδέν.

ῥανὶς ἐνδελεχοῦσα, κοιλαίνει πέτραν. ῥηΐδιον δὲ θεοῖσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν, ἠμὲμ κυδῆναι θνητὸμ βροτὸν, ἠδὲ κακῶσαι.

ῥηγίνου δειλότερος. ἐπὶ τῶν καθ' ὑπερβολὴν δειλῶν. καὶ δειλότερος τοῦ παρακύπτοντος. ξέναρχος γὰρ ὁ σώφρονος ἐκωμῴδει τοὺς ῥηγίνους ὡς δειλοὺς, ὑπὸ διονυσίου τοῦ τυράννου πεισθείς.

ῥόδομ ἀνεμώνῃ συγκρίνεις. ἐπὶ τῶν τὰ ἀνόμοια συμφυόντωμ καὶ συγκρινόντων.

ῥόδα μ' εἴρηκας. ἀμτὶ τοῦ ἐμοὶ τὰ παρὰ σοῦ εἰρημένα, ῥόδα ἐστίν.

ῥόδομ παρελθὼμ, μηκέτι ζήτει πάλιν. ἐπὶ τῶν κυδαινόντων τιμάς.

ῥόδιοι τὴμ θυσίαν. ἐπὶ τῶμ ἐμ ἱεροῖς βλασφημούμτωμ.

ῥοδίωμ χρησμός. ἐπὶ τῶμ περιεργότερον πυνθανομένων. ῥόδιοι γὰρ τῇ λινδίᾳ ἀθηνᾷ θύοντες καθ' ἑκάστην ἡμέραν, διετέλουν τῷ μαῷ εὐωχούμενοι. οὐκ ἦν δὲ αὐτοῖς ἔθος ἀμίδα εἰσφέρειν. συγκαταινέσαντος δὲ, πάλιν ἀνεπυνθάνοντο. χαλκῆν δὲ ἢ ὀστρακίνην. ὁ δὲ ὀργισθεὶς, ἀπεφήνατο μὴ δὲ ἑτέραν.

σαμίων πρεσβευταῖς μακρολογοῦσιν, ἔφασαν οἱ σπαρτιᾶται. τὰ μὲν πρῶτα ἐπιλελάθαμες. τὰ δὲ ὕστερα οὐ συνήκαμες, διὰ τὸ τὰ πρῶτα ἐπιλελᾶσθαι. σπαρτιᾶται πρὸς θηβαίους περί τινων ἀντιλέγοντας, ἢ φρονεῖν τοῦτον δεῖ ἔλασσον, ἢ δύνασθαι μεῖζον. σπαρτιάτης παῖς αἰχμαλωτισθεὶς ὑπ' ἀντιγόνου τοῦ βασιλέως, καὶ πραθεὶς, τὰ μὲν ἄλλα πάντα ὑπήκοος ἦν τῷ πριαμένῳ, ὅσα ᾤετο προσήκειν ἐλευθέρῳ ποιεῖν. ὡς δὲ προσέταξεν ἀμίδα κομίζειν, οὐκ ἠνέσχετο. εἰπὼν οὐ δουλεύσω. ἐνισταμένου δὲ ἐκείνου, ἀναβὰς ἐπὶ τὸ κέραμον. καὶ εἰπὼν εἴσῃ τῆς ὠνῆς, ἔβαλεν αὑτὸν κάτω, καὶ ἐτελεύτα.

ΣΕΜΙΡΑΜΙΔΟΣ.

σεμίραμις ἑαυτῇ κατασκευάσασα τάφον, ἐπέγραψεν. ὅστις χρημάτων δεηθῇ βασιλεὺς, διελόντα τὸ μνημεῖον, ὅσα βούλεται λαβεῖν. δαρεῖος δὲ διελὼν, χρήματα μὲν οὐκ εὗρε. γράμμασι δὲ ἑτέροις ἐνέτυχε τάδε φράζουσιν. εἰ

μὴ

μὴ κακὸς ἦς ἀνὴρ καὶ χρημάτων ἄπληστος, οὐκ ἂν μακρῶν θήκας ἐκείνης. ΣΙΜΩΝΙΔΟΥ.

Σιμωνίδης ἔλεγε τὴν μὲν ζωγραφίαν, ποίησιν σιωπῶσαν. τὴν δὲ ποίησιν, ζωγραφίαν λαλοῦσαν. ὁ αὐτὸς ἔλεγε, μηδέποτε αὐτῷ μεταμελῆσαι σιγήσαντι. φθεγξαμένῳ δέ, πολλάκις. ὁ αὐτὸς ἐρωτηθεὶς, πότερον αἱρετώτερον πλοῦτος ἢ σοφία, οὐκ οἶδα ἔφη. ὁρῶ γὰρ τοὺς σοφοὺς ἐπὶ τὰς τῶν πλουσίων θύρας φοιτῶντας. ὁ αὐτὸς παρακαλούμενός τινος ἐγκώμιον ποιῆσαι, καὶ χάριν ἕξειν λέγοντος, ἀργύριον δὲ μὴ διδόντος, δύο εἶπεν οὗτος ἔχω κιβωτούς. τὴν μὲν, χαρίτων. τὴν δὲ, ἀργυρίου. καὶ πρὸς τὰς χρείας, τὴν μὲν τῶν χαρίτων, κενὴν εὑρίσκω ὅταν ζητήσω. τὴν δὲ, χρησίμην μόνην. ὁ αὐτὸς ἐρωτηθεὶς διατί ἐσχάτου γήρως ὢν, φιλάργυρος εἴη; ὅτι ἐβουλοίμην ἂν ἀποθανὼν, τοῖς ἐχθροῖς μᾶλλον ἀπολιπεῖν, ἢ ζῶν δεῖσθαι τῶν φίλων. καταγνωκὼς τῆς τῶν πολλῶν φιλίας τὸ ἀβέβαιον. ΣΚΙΟΥΡΟΥ.

Σκίυρος ὀγδοήκοντα παῖδας ἄῤῥενας ἀπολιπὼν,

ἐπεὶ τελευτᾶν ἔμελλε, δέσμην ἀκοντίων
ἑκάστῳ προτείνων, ἐκέλευσε καταθραῦσαι.
διδάσκων ἐκείνους, ὅτι συνεστῶτες ἰσχυροὶ δια-
μενοῦσιν. ἀσθενεῖς δ' ἔσονται διαλυθέντες, καὶ
στασιάσαντες.

ΣΟΛΩΝΟΣ.

σόλων ἐρωτηθεὶς, πῶς ἄριστα αἱ πόλεις οἰκοῖντο,
ἔφη. ἐὰν οἱ μὲν πολῖται, τοῖς ἄρχουσι πείθωνται.
οἱ δὲ ἄρχοντες, τοῖς νόμοις. σόλων ἐρωτηθεὶς,
διατί κατὰ τῶν παροκτόνωμ νόμομ οὐκ ἔθηκεν.
εἶπε. διὰ τὸ μὴ ἐλπίσαι. ὁ αὐτὸς εἶπεν, ἐκεί-
νην ἄριστα διοικεῖσθαι τὴν πόλιν, ἐν ᾗ τοὺς ἀγα-
θοὺς ἄμδρας συμβαίνει τιμᾶσθαι. καὶ τὸ ἐναμ-
τίομ, ἐμ ᾗ τους κακοὺς ἀμύνεσθαι. ὁ αὐτὸς ἐ-
ρωτηθεὶς πῶς ἂν μὴ γίνοιτο ἀδίκημα ἐμ τῇ
πόλει, εἶπεμ. εἰ ὁμοίως ἀγαμακτοῖεν οἱ μὴ ἀδι-
κούμενοι, τοῖς ἀδικουμένοις. ὁ αὐτὸς ὀμειδιζόμε-
νος παρά τινος ὅτι δίκην ἔχων ἐμισθώσατο ῥήτορα,
καὶ γὰρ ἔφη ὅταμ δεῖπμομ ἔχω, μάγειρον μισθοῦ-
μαι.

ΣΟΛΩΝ ἘΞΗΚΕΣΤΙΔΟΥ ἈΘΗΝΑΙΟΣ, ΤΑΔΕ ἘΦΗ.

μηδὲν ἄγαν. κριτὴς μὴ κάθησο. εἰ δὲ μή, τῷ λη-

φθέγματι ἐχθρὸς ἔσῃ. ἡδονὴν φεῦγε. αὕτη γὰρ τίκτει λύπην. φύλασσε τρόπου καλοκαγαθίαν, ὅρκου πιστοτέραν. σφράγιζε τοὺς μὲν λόγους σιγῇ, τὴν δὲ σιγὴν, καιρῷ. μὴ ψεύδου. ἀλλ' ἀλήθευε. τὰ σπουδαῖα μελέτα. τῶν γονέων μὴ λέγε δικαιότερα. φίλους μὴ ταχὺ κτῶ. οὓς δ' ἂν κτήσῃ, μὴ ταχὺ ἀποδοκίμαζε. ἄρχεσθαι μαθὼν, ἄρχειν ἐπιστήσῃ. συμβούλευε μὴ τὰ ἥδιστα. ἀλλὰ τὰ βέλτιστα. τοῖς πολίταις μὴ θρασύνου. μὴ κακοῖς ὁμίλει. χρῶ τοῖς θεοῖς. φίλους εὐσέβει. ὃ δ' ἂμ ἴδῃς μὴ λέγε. εἰδὼς, σίγα. τοῖς σεαυτοῦ πρᾶος ἴσθι. τὰ ἀφανῆ τοῖς φανεροῖς τεκμαίρου.

ΑΙΓΥΠΤΙΟΣ ἹΕΡΕΥ͂Σ ΠΡῸΣ ΣΟΛΩΝΑ ΤΆΔ', ἜΦΗ.

ὦ σόλων σόλων. ἕλληνες ὑμεῖς ἀεὶ παῖδές ἐστέ. γέρων δὲ ἕλλην οὐδείς. οὐ γὰρ ἔχετε μάθημα χρόνῳ πολιόν.

ΣΩΚΡΑΤΟΥΣ.

σωκράτης ὁ σωφρονίσκου καὶ φαιναρέτης, ἐρωτηθεὶς τί ἐστιν εὐδαιμονία, ἡδονὴ ἀμεταμέλητος ἔφη. ὁ αὐτὸς ἐρωτηθεὶς τίνες εὐδαίμονες, εἶπεν. οἷς καὶ φρένες ἀγαθαὶ, καὶ λόγος πρόσεστιν. ὁ αὐτὸς διαλεγόμενος, καί τινος ἀπαγγείλαντος ὅτι ὁ υἱὸς αὐτοῦ

τέθνηκε, συμπεραιώσας τὴν διάλεξιν, ἀπίω μεμ ἔφη, σωφρονίσκῳ τὰ νενομισμένα πληρώσοντες. ὁ αὐτὸς ἐρωτηθεὶς, πῶς ἄμ τις ἄλυπος διάγοι, τοῦτο ἀδύνατον εἶπεν. οὐ γάρ ἐστι πόλιν ἢ οἰκίαν οἰκοῦντα, καὶ ἀνθρώποις ὁμιλοῦντα, μὴ λυπεῖσθαι. ὁ αὐτὸς ἔλεγε νομίζειν ἀεὶ τοὺς θεοὺς γελᾶμ. ὁρῶντας τὴν τῶν ἀνθρώπων κενοσπουδίαν. μικρὰ γὰρ τὰ ἀνθρώπινα πάντα ὄντα, οὐκ ἴσης σπουδῆς τυγχάνει. ὁ αὐτὸς εἶπε, πολλοῦ ἂν ἄξιον ἦν τὸ πλουτεῖν, εἰ καὶ τὸ χαίρειν αὐτῷ συνῆν. νῦν δὲ ἄμφω ταῦτα κεχώρισαι. ἐὰν γὰρ θέλωσι χρῆσθαι τῷ πλούτῳ, τῇ ἠδυπαθείᾳ διαφθείρονται. ἐάν τε τὸ πλουτεῖν φυλάττειν, τῇ φροντίδι. ἐάν τε κτήσασθαι, τῇ ἐπιθυμίᾳ. ὁ αὐτὸς πρὸς τὸν εἰπόντα ἀποθανοῦμαι εἰ μή σε τιμωρήσαίμην, ἔφη. ἀποθανοῦμαι εἰ μή σε φίλον ποιήσω. ὁ αὐτὸς ὀνειδιζόμενος ἐπὶ δυσγενείᾳ ὑπό τινος εὐγενοῦς, μοχθηροῦ δὲ, ἐμοὶ μὲν τὸ γένος ὄνειδος ἔφη. σὺ δὲ τῷ γένει.

ὁ αὐτὸς ἐπεὶ τὸ κώνειον ἔμελλε πίεσθαι, τῶν ἀμφὶ τοὺς κριτὰς ἐρομένων αὐτὸν, τίνα τρόπον τα

φῆναι θέλει, ὅπερ ἂν ὑμῖν ἀπεκρίνατο ἦ ῥᾷστον.

ὁ αὐτὸς παρῄνει φυλάττεσθαι τῶν βρωμάτων ὅσα μὴ πεινῶντας ἐσθίειν ἀναπείθει. καὶ τῶν πωμάτων, ὅσα πείθει μὴ διψῶντας. ὁ αὐτὸς ἐρωτήσαντος αὐτὸν Γοργίου ἣν μ' ἔχοι περὶ τοῦ μεγάλου βασιλέως ὑπόληψιν. ἢ καὶ νομίζει τοῦτον εὐδαίμονα εἶναι, οὐκ οἶδα ἔφησε πῶς ἀρετῆς καὶ παιδείας ἔχει, νομίζων τὴν πρώτην εὐδαιμονίαν ἐν τούτοις, οὐκ ἐν τοῖς τυχηροῖς ἀγαθοῖς κειμένην.

ὁ αὐτὸς ἰδὼν πλούσιον ἀπαίδευτον, ἔφη. ἰδοὺ καὶ τὸ χρυσοῦν ἀνδράποδον. ὁ αὐτὸς ἐρωτηθεὶς τί τῶν ζώων κάλλιστόν ἐστιν, ἔφη. ἄνθρωπος παιδείᾳ κεκοσμημένος. ὁ αὐτὸς ὀνειδιζόμενος ὑπό τινος ὅτι βαρβαρίζει, ἔφη. ἐγὼ μὲν τῷ λόγῳ. σὺ δὲ τῷ τρόπῳ. ὁ αὐτὸς ἐρωτηθεὶς ὑπό τινος, τίς κατασχεῖν δύναται λόγον ἀπόρρητον, ἔφη. ὅστις καὶ διάπυρον ἄνθρακα τῇ γλώσσῃ κατασχεῖν δυνήσεται. ὁ αὐτὸς τοὺς μὲν ἄλλους ἔλεγε ζῆν, ἵνα ἐσθίωσιν. ἐγὼ δὲ ἐσθίω ἵνα ζῶ.

ὁ αὐτὸς ἐρωτηθεὶς τί ἥδιστον ἐν τῷ βίῳ, ἔφη.

παιδεία καὶ ἀρετή. καὶ ἱστορία τῶν ἀγνοουμένων.
ὁ αὐτὸς ἐρωτηθεὶς τί λυπεῖ τοὺς ἀγαθούς, ἔφη.
εὐτυχία πονηρῶν. ὁ αὐτὸς τοὺς πλεονέκτας
εἴκαζε ταῖς ὄρνισιν. ὧν ἡ μὲν καταπίνει, ὅτι
ἂν προστύχῃ. καὶ ἔστιν ὅτε πνίγεται. αἱ δ' ἄλλαι
περιακολουθοῦσιν ἀφελεῖν αὐτὸ σπεύδουσαι, ἵ
να παρὰ μέρος πνίγωσιν. ὁ αὐτὸς μεμφομέ
νης αὐτῷ τῆς γυναικὸς αὐτοῦ, ὅτι οὐ προσίεται τὸν
υἱὸν αὐτοῦ ἄχρηστον ὄντα, καὶ λεγούσης ὅτι ἐξ αὐ
τοῦ εἴη, ἀποπτύσας καὶ γὰρ τοῦτο εἶπεν ἐξ ἐμοῦ,
ἀλλ' οὐ χρήσιμον. ὁ αὐτὸς ἐρωτηθεὶς πότερον
γῆμαι, ἢ μή, ἔφη. ὃ ἂν αὐτῶν ποιήσῃς, μεταγνώ
σῃ. ὁ αὐτὸς θαυμάζειν ἔλεγε τῶν τὰς λιθίνους
εἰκόνας κατασκευαζομένων, τοῦ μὲν λίθου προ
νοεῖν, ὡς ὁμοιότατος ἔσται. αὑτῶν δ' ἀμελεῖν,
ὡς μὴ ὁμοίους τῷ λίθῳ φαίνεσθαι. ὁ αὐτὸς ἠ
ξίου τοὺς νέους συνεχὲς κατοπτρίζεσθαι, ἵν' εἰ μὲν
καλοὶ εἶεν, ἄξιοι γίνοιντο. εἰ δὲ αἰσχροί, παιδείᾳ
τὴν δυσείδειαν ἐπικαλύπτοιεν. ὁ αὐτὸς ὄναρ
δόξας τινὰ αὐτῷ λέγειν, ἤματί κεν τριτάτῳ φθί

ἢν ἐρίβωλομ ἱκοίο, πρὸς αἰσχίνην ἔφη, ἐς τρίτην
ἀποθανοῦμαι. αὐτῷ μέλλοντι τὸ κώνειον πίε-
σθαι, ἀπολλόδωρος ἱμάτιον ἐδίδου καλόν. ἵν' ἐ-
κείνῳ ἀποθάνῃ. καὶ ὅς τί δ' ἔφη. τὸ ἐμὸν ἱμά-
τιομ ἐκβιῶναι μὲμ ἐπιτήδειον, ἐναποθανεῖμ
δὲ οὐχί; ὁ αὐτὸς πρὸς ἀλκιβιάδην εἰπόντα, ὡς
οὐκ ἀνεκτὴ ἡ ξανθίππη λοιδοροῦσα, ἀλλ' ἔγωγ'
ἔφη συνήθισμαι, καθάπερ εἰ καὶ χιλίας ἀκούωμ
συνεχές. καὶ σὺ μὲν εἶπε, χηνῶν βοώντων ἀνέ-
χῃ. τοῦ δὲ εἰπόντος, ἀλλά μοι ᾠὰ καὶ νεοττοὺς
τίκτουσι, κἀμοὶ φησὶ ξανθίππη παιδία γεννᾷ.
ὁ αὐτὸς λέγεται ὅτι εἶδεν ὄνειρομ κύκνου νεοττὸν
ἐμ τοῖς γόνασι σχεῖν, ὃ καὶ παραχρῆμα πτεροφυή-
σαντα ἀναπτῆναι, ἡδὺ κλάγξαντα. καὶ μεθημέ-
ραν πλάτωνα αὐτῷ συστῆναι. τὸν δὲ, τοῦτον εἰ-
πεῖν εἶναι τὸν ὄρνιν. ὁ αὐτὸς ἔφη. τοὺς μὲν κε-
νοὺς ἀσκοὺς τὸ πνεῦμα διίστησι. τοὺς δὲ ἀνοή-
τους τὸ οἴημα. ὁ αὐτὸς εἶπεν, οἱ φιλίαν παρα-
θεωροῦντες, κἂν τὴν ἐκ τῶν ἠδικημένων
ἐκφύγωσι κόλασιν δι' ἀσθένειαν, ἀλλ' οὖν γε

τὴν ἐκ τοῦ θεοῦ τιμωρίαν οὐ διακρούονται.

ὁ αὐτὸς ἔλεγεν ὁ μὲν χειμὼν σκέπης, τὸ δὲ γῆρας, ἀλυπίας δεῖται. ξανθίππης αὐτῷ ἐπιτιμώσης διότι λιτῶς παρεσκευάζετο ὑποδέξασθαι φίλους, ὦ γύναι εἶπεν. εἰ μὲν ἡμέτεροί εἰσιν, οὐδὲν ἐκείνοις μελήσει. εἰ δὲ ἀλλότριοι, ἡμῖν περὶ αὐτῶν οὐδὲμ μελήσει. ὁ αὐτὸς εἶπεν αἱ πονηραὶ ἐλπίδες, ὥσπερ οἱ κακοὶ ὁδηγοί, ἐπὶ τὰ ἁμαρτήματα ἄγουσιν. ὁ αὐτὸς ἰδών τινα προχείρως πᾶσι χαριζόμενον καὶ ἀνεξετάστως ὑπηρετούμεμομ, κακῶς εἶπεμ ἀπόλοιο, ὅτι τὰς χάριτας παρθένους οὔσας, πόρνας ἐποίησας. ὁ αὐτὸς εἶπεμ. ἐν μὲμ τῷ πλεῖν, πείθεσθαι δεῖ τῷ κυβερμήτῃ. ἐν δὲ τῷ ζῆν, τῷ λογίζεσθαι δυναμένῳ βέλτιομ.

ΣΩΣΙΑΔΟΥ, ΤΩΝ Ζ΄ ΣΟΦΩΝ ΥΠΟΘΗΚΑΙ.

Ἕπου θεῷ. νόμῳ πείθου. θεοὺς σέβου. γονεῖς αἰδοῦ. ἡττῶ ὑπὲρ δικαίου. γνῶθι μαθών. ἀκούσας νόει. σαυτὸν ἴσθι. γαμεῖν μέλλων, καιρὸν γνῶθι. φρόνει θνητά. ἑστίαν τίμα. ἄρχε σεαυτοῦ.

φίλοις βοήθει. θυμοῦ κράτει. φρόνησιν ἄσκει. πρόνοιαν τίμα. ὅρκῳ μὴ χρῶ. φιλίαν ἀγάπα. παιδείας ἀντέχου. δόξαν δίωκε. σοφίαν ζήλου. καλὸν εὖ λέγε. ψέγε μηδένα. ἐπαίνει ἀρετήν. πρᾶττε δίκαια. φίλοις εὐνόει. ἐχθροὺς ἀμύνου. εὐγένειαν ἄσκει. κακίας ἀπέχου. κοινὸς γίνου. ἴδια φύλασσαι. ἀλλοτρίων ἀπέχου. εὔφημος ἴσθι. ἄκουε πάντα. φίλῳ χαρίζου. χρόνου φείδου. ὅρα τὸ μέλλον. ἔριν μίσει. ἱκέτας αἰδοῦ. υἱοὺς παίδευε. ἔχων χαρίζου. δόλον φοβοῦ. εὐλόγει πάντας. φιλόσοφος γίνου. ὅσια κρίνε. γνοὺς πρᾶττε. φόνου ἀπέχου. εὔχου δυνατά. σοφοῖς χρῶ. ἦθος δοκίμαζε. λαβὼν ἀπόδος. ὑφορῶ μηδένα. τέχνῃ χρῶ. ὃ μέλλεις δός. εὐεργεσίας τίμα. φθόνει μηδενί. φυλακῇ πρόσεχε. ἐλπίδα αἴνει. διαβολὴν μίσει. δικαίως κτῶ. ἀγαθοὺς τίμα. αἰσχύνην σέβου. χάριν ἐκτέλει. ὄνειδος ἔχθαιρε. κρῖναι δίκαια. ἀδωροδόκητος δοκίμαζε. αἰτιῶ παρόντα. λέγε εἰδώς. βίας μὴ ἔχου. ὁμίλει πράως. πέρας

ἐπιτέλει μὴ ἀποδειλιῶν. υἱοῖς μὴ καταθάρρει.
γλώττης ἄρχε. σεαυτὸν εὖ ποίει. εὐπροσήγορος γί-
νου. ἀποκρίνου ἐν καιρῷ. πόνει μετὰ δικαίου.
πράττε ἀμετανοήτως. ἁμαρτάνων μετανόει.
ὀφθαλμοῦ κράτει. βουλεύου χρήσιμα. ἐπιτέ-
λει συντόμως. φιλίαν φύλαττε. εὐγνώμων γί-
νου. ὁμόνοιαν δίωκε. ἄρρητα μὴ λέγε. τὸ
κρατοῦν φοβοῦ. τὸ συμφέρον θηρῶ. καιρὸν
προσδέχου. ἔχθρας διάλυε. εὐφημίαν ἄσκει.
ἀπεχθείας φύγε. πλούτει δικαίως. δόξαν μὴ
λίπε. κακίαν μίσει. μανθάνων μὴ κάμνε.
κινδύνευε φρονίμως. οὓς τρέφεις ἀγάπα. πρεσ-
βύτερον αἰδοῦ. νεώτερον δίδασκε. πλούτῳ
ἀπίστει. σεαυτὸν αἰδοῦ. προγόνους στεφάνου.
θνῆσκε ὑπὲρ πατρίδος. τῷ βίῳ μὴ μάχου. ἐπὶ
νεκρῷ μὴ γέλα. ἀτυχοῦσι συνάχθου. χαρίζου
ἀβλαβῶς. μὴ ἐπὶ παντὶ λυποῦ. ἐξ εὐγενῶν γέν-
να. ἐπαγγέλλου μηδενί. φθιμένους μὴ ἀδίκει.
εὖ πάσχε ὡς θνητός. τύχῃ μὴ πίστευε. κόσμι-
ος ἴσθι. ἡβῶν μέσος, δίκαιος. πρεσβύτερος
εὔλογος. τελεύτα ἄλυπος.

ΣΩΣΤΡΑΤΟΥ.

Σώστρατος ὁ αὐλητὴς ὀνειδιζόμενος ὑπό τινος ἐπὶ τῷ γονέων ἀσήμων εἶναι, εἶπε. καὶ μὴν διὰ τοῦτο μᾶλλον ὤφελον θαυμάζεσθαι. ὅτι ἀπ' ἐμοῦ τὸ γένος ἄρχεται. Ὁ αὐτὸς ἔφη, οἱ ἀδελφοὺς παρέντες, καὶ ἄλλους φίλους ζητοῦντες, παραπλήσιοι εἰσὶ, τοῖς τὴν ἑαυτῶν γῆν ἐῶσι. τὴν δὲ ἀλλοτρίαν γεωργοῦσιν.

ΣΩΤΙΩΝΟΣ.

Σωτίων ἔφη, οἱ δελφῖνες μέχρι τοῦ κλύδωνος συνδιανήχονται τοῖς κολυμβῶσι. πρὸς δὲ τὸ ξηρὸν οὐκ ἐξοκείλουσιν. οὕτω δὴ καὶ οἱ κόλακες, ἐν εὐδίᾳ παραμένουσι. καὶ τοὺς φίλους εἰς ἀποδημίαν προπέμποντες, μέχρι τῆς λείας παρακολουθοῦσιν. ἐπειδὰν δὲ εἰς τραχεῖαν ἔλθωσιν, ἀπίασιν.

ΤΗΛΕΚΡΟΥ.

Τήλεκρος ὁ βασιλεὺς πρὸς τὸν ἀδελφὸν ἐγκαλοῦντα τοῖς πολίταις, ὡς ἀγνωμονέστερον αὐτῷ προσφερομένοις ἢ ἐκείνῳ, σὺ γὰρ εἶπεν οὐκ οἶδας ἀδικεῖσθαι.

ὁ αὐτὸς πρὸς τὸν εἰπόντα ὅτι ὁ πατὴρ λέγει κα-
κῶς αὐτοῦ, εἰ μὴ αὐτῷ ἔφη λεκτέον ἦν, οὐκ ἂν ἔ-
λεγεν. ὁ αὐτὸς ἐρωτηθεὶς διατί ἔθος παρ᾽αὐ-
τοῖς ἐστὶ τοὺς νεωτέρους τοῖς πρεσβυτέροις ἐξανί-
στασθαι, ὅπως ἔφη περὶ τοὺς μὴ προσήκοντας
οὕτως ἔχοντες τιμῆς, μᾶλλον τιμῶσι τοὺς γο-
νέας. ὁ αὐτὸς πυθομένου τινὸς, πόσην κέκτη-
ται οὐσίαν, ἔφη. οὐ πλείω τῆς ἱκανῆς.

ΤΙΜΟΘΕΟΥ.

τιμόθεος, εὐτυχὴς ἐνομίζετο στρατηγὸς εἶναι.
καὶ φθονοῦντες αὐτῷ τινὲς, ἐζωγράφουν τὰς πό-
λεις, εἰς κύρτον αὐτομάτως ἐκείνου καθεύδον-
τος ἐμ δυομένας. ἔλεγεν οὖν ὁ τιμόθεος ὅ-
τι τηλικαύτας πόλεις λαμβάνων καθεύδων, τί
με οἴεσθε ποιήσειν ἐγρηγορότα. ὁ αὐτὸς τινὸς
τῶν τολμηρῶν στρατηγῶν, τραῦμα τοῖς ἀθηναίοις
δεικνύοντος, εἶπεν. ἐγὼ ᾐσχύνθην ὅτι μου στρατη-
γοῦντος ὑμῶν ἐν σάμῳ, καταπελτικὸν βέ-
λος ἐγγὺς ἔπεσεν. ὁ αὐτὸς τὸν χάριτα προ-
σάγοντα, καὶ τοιοῦτον ἀξιοῦντα εἶναι τῶν ἀθηναίων

στρατηγὸν, οὐ τὸν στρατηγὸν εἶπεν. ἀλλὰ τὸν τῶν στρατηγῶν τὰ στρώματα κομίζοντα.

ΤΙΜΟΚΛΕΌΝΤΟΣ.

τιμοκλέων ὁ κορίνθιος, τοῦ στρατοῦ πρὸς τοὺς πολεμίους ἐπάγων, κατὰ τύχην οὖν ζυγίων σέλινα κομιζόντων εἰς τὰς στιβάδας, ἔφη. δέχεσθε τὸν οἰωνὸν τῆς νίκης. τὸν γὰρ ἰσθμιακὸν στέφανον ἐκ σελίνου συνίστασθαι. οἱ δὲ στρατιῶται παραγγείλαντος τοῦ τιμοκλέοντος, ἐκ τῶν σελίνων πλέξαντες στεφάνους, καὶ ταῖς κεφαλαῖς περιθέντες, προῆγον μετὰ χαρᾶς, ὡς τῶν θεῶν σημαινόντων αὐτοῖς τὴν νίκην. ὅπερ καὶ συνέβη γενέσθαι.

ΤΡΟΦΏΝΙΟΣ, ΚΑῚ ἈΓΑΜΉΔΗΣ.

τροφώνιος καὶ ἀγαμήδης, ποιήσαντες ἐν δελφοῖς ναὸν, ᾔτουν παρὰ ἀπόλλωνος τὸν μισθόν. ὁ δὲ αὐτοῖς ἔφη δώσειν τῇ ἑβδόμῃ ἡμέρᾳ. καὶ ταύτῃ ἀπέθανον. ἔτι δὲ καὶ κλέοβις καὶ βίτων, κυδίππης τῆς μητρὸς αὐτῶν εὐξαμένης τῇ ἥρᾳ δοῦναι τοῖς παισὶν ὅπερ ἂν εἴη κάλλιστον. ὅτι ἑαυτοὺς ὑποζεύξαντες τὴν μητέρα εἰς τὸ

ἱερὸν ἀνήγαγον, τὸν βίον παραχρῆμα κατέστρε-
ψαν. ἐς οὓς καὶ τοιόνδε τὶς ἐπίγραμμα πεποί-
Οἵδε βίτων κλέοβίς τ' ἐνὶ σώμασιν οἰκείοισι, (ηκεν.
ζεύγλην ζευξάμενοι, μητέρα τὴν ἄγετην
ἥρας ἐς ἱερόν. λαοὶ δέ μιν ἐζήλωσαν.
οὕνεκ' ἐτίμησαν μητέρα τὴν σφετέρην.
Αὐτοῦ δ' εὐνηθέντες, λίπον βίον ἐν νεότητι.
ὡς τόδ' ἄριστον ἐὸν καὶ μακαριστότατον.

ΤΥΝΝΙΧΟΣ.

Τύννιχος θρασυβούλου τοῦ παιδὸς ἀποθανόν-
τος, εὐρώστως ἤνεγκε, καὶ ἐπίγραμμα ἐς τοῦ-
„ τον ἐγένετο. τὰν πιτάνα θρασύβουλος ἐπ'
„ ἀσπίδος ἤλυθεν ἄπνους ἑπτὰ πρὸς ἀργεί-
„ ων τραύματα δεξάμενος. δεικνὺς ἀντία πάν-
„ τα. τὸν αἱματόεντα δ' ὁ πρέσβυς θεὶς ἐπὶ
„ πυρκαϊὴν τύννιχος εἶπε τάδε. δειλοὶ κλαι-
„ έσθωσαν. ἐγὼ δέ σε τέκνον ἄδακρυς θάψω.
„ τὸν καὶ ἐμόν, καὶ λακεδαιμόνιον.

ΥΠΕΡΙΔΟΥ.

Ὑπερίδης εἶπεν. χαρακτὴρ οὐδεὶς ἔπεστιν ἐπὶ

τοῦ προσώπου τῆς διαμοίας τῶν ἀνθρώπεις.
ὁ αὐτὸς εἶπεν, ἀρχομένων δὲ τῶν ἀδικημάτων
ἐμφράσειν τὰς ὁδούς. ὅταμ δ' ἅπαξ ῥιζωθῇ
κακία, καὶ παλαιὰ γένηται, καθάπερ σύντροφος
ἀῤῥωστία, χαλεπὸμ αὐτὴν καταςβέσαι. ὁ αὐ
τὸς εἶπε φοβητέον οὐκ ἄνδρος ἀπειλὴν, ἀλλὰ
› νόμου φωνήν. ὑγιαίνειν μὲν ἄριστον ἀνδρὶ θνα
› τῷ. δεύτερον δὲ φυὰν καλὸν γενέσθαι.
› τρίτον δὲ πλουτεῖν ἀδόλως. εἶτα τέταρ
› τον. ἡβᾶν μετὰ φίλων, ὑγεία μὲν ἡγεῖται. κάλ
› λος δὲ δεύτερομ. τὸ δὲ τρίτον ἰσχύς. τέταρ
› τον δὲ πλοῦτος. οὐ τυφλὸς, ἀλλ' ὀξὺ βλέπων.
ὑγεία καὶ νοῦς, ἐσθλὰ τῷ βίῳ δύο. ὑπόπτερος
δ' ὁ πλοῦτος. οἷς γὰρ ἦμ ποτὲ ἐξελπίζων πί
πτοντας, ὑπτίους ὁρῶ. ὕπνοι καὶ κόποι, μαθή
μασι πολέμια. ὕπνος οὐδέμ ἐστιμ, ἢ θάνατος
πρόσκαιρος καὶ ἐφήμερος τελευτή.

## ΦΑΛΑΙΚΟΥ.

Φάλαικος ὁ τῶν φωκέωμ στρατηγὸς, διαβλη
θεὶς ὅτι πολλὰ τῶν ἱερῶν χρημάτωμ κέκλο
φεν, ἐξέπεσε τῆς ἀρχῆς. ἐπεχείρησαν γὰρ

οἱ περὶ αὐτοῦ στρατηγοὶ, φιλόμηλος. ὀνόμαρ
χος. φάϋλος, καὶ τὸν ναὸν ὀρύττειν μὲν τοῦ ἀπόλλω
νος. εἰπόντος τινὸς ὡς ἐν αὐτῷ θησαυρὸς εἴη,
πολὺν ἔχων ἄργυρόν τε καὶ χρυσόν. καὶ τὰ πε
ρὶ τὴν ἑστίαν καὶ τὸν τρίποδα φιλοτίμως ἀνέσκα
πτον. ὁ δὲ μηνύσας τὸν θησαυρὸν, μάρτυρα
παρείχετο τὸν ἐπιφανέστατον τῶν ποιητῶν ὅμηρον.
» ἐν οἷς λέγει. οὐδ᾽ ὅσα λάϊνος οὐδὸς ἀφήτορος
» ἔνδον ἐέργει. φοίβου ἀπόλλωνος πυθοῖ ἐνὶ
πετρηέσσῃ. ΦΑΛΑΡΙΔΟΣ.

Φάλαρις, θυγάτηρ πέφυκεν ἔφη μᾶλλον ἀρρένων
παίδων περὶ πλείστου ποιεῖσθαι γονέας. ὁ αὐ
τὸς εἶπε τὴν μὲν ἀρρωστίαν τοῦ σώματος θερα
πεύειν τὴν τέχνην. τὴν δὲ ψυχῆς νόσον, ἰατρὸν ἰᾶ
σθαι θάνατον. ΦΕΡΕΚΥΔΟΥ.

Φερεκύδης βάλιος σύριος, παρὰ τὸν αἰγιαλὸν
τῆς ψάμμου παριστάντων, καὶ ναῦν οὐριοδρομοῦ
σαν ἰδὼν, εἶπεν. ὡς μετ᾽ οὐ πολὺ καταδύσε
ται. καὶ ἐν ὀφθαλμοῖς αὐτῶν κατέδυ. ὁ αὐ
τὸς ἐκ φρέατος ὕδωρ ἀνιμηθεὶς καὶ πιὼν, προεῖ

πεν

εἶπεν εἰς τρίτην ἡμέραν σεισμὸν ἔσεσθαι. καὶ γέγο
νεν. ἐνίων δέ φασιν εἰς μεσήνην τῆς ὀλυμπί
ας, συνεβούλευσε τῷ περιλάῳ ξένῳ ἐξοικῆσαι
μετὰ τῶν οἰκείων. καὶ ὃς οὐκ ἐπείσθη. μετ᾽ οὐ πο
λὺ δ᾽ ἑάλω μεσήνη. ἔτι τοῖς λακεδαιμονίοις
ἐκέλευσεν ὥς φησι θεόπομπος ἐν θαυμασί
οις, μήτε χρυσὸν τιμᾶν, μήτε ἄργυρον. προστά
ξαι δ᾽ αὐτῷ ὄναρ τοῦτο τὸν ἡρακλέα. ὃν καὶ τῆς
αὐτῆς νυκτὸς τοῖς βασιλεῦσι κελεῦσαι, φερε
κύδῃ πείθεσθαι. οὗτος συγχρονίσας τοῖς ἑπτὰ
σοφοῖς, καὶ πυθαγόραν διδάξας, οὐκ ἔσχε καθη
γητήν. κτησάμενος τὰ φοινίκων ἀπόκρυφα
βιβλία.

## ΦΙΛΟΞΕΝΟΥ.

Φιλόξενος ὁ ποιητὴς, εἰπόντος τινὸς διατὶ σοφο
κλῆς χρηστὰς παρεισάγει τὰς γυναῖκας. αὐτὸς
δὲ φαύλας, εἶπεν. ὅτι σοφοκλῆς μὲν, οἵας δεῖ
εἶναι τὰς γυναῖκας λέγει. ἐγὼ δὲ, οἷαι εἰσίν.

## ΦΙΛΙΠΠΟΥ.

Φίλιππος πρὸς καλλισθένην ὀλύνθιον, παῤῥησια
στικώτερον αὐτῷ λαλοῦντα, καὶ μὴ πειθόμενον,
ἐπιπλήξας εἶπεν.

ἠκύμορος δή μοι τέκος ἔσσεαι οἷ᾽ ἀγορεύεις. καὶ δὴ καὶ ἐγένετο. δόξας γὰρ ἑρμολάῳ συμμετεσχηκέναι τῆς εἰς ἀλέξανδρον ἐπιβουλῆς, ἐν σιδηρᾷ περιήγετο γαλεάγρᾳ. φθειριῶν καὶ ἀκόμιστος. καὶ τέλος λέοντι παραβληθεὶς, οὕτω κατέστρεψεν. ὁ αὐτὸς ἐξέπεμψαν ἐπὶ τὸ κοινὸν τῶν βοιωτῶν πρέσβεις. ὧν ἦν ἐπιφανέστατος πύθων. οὗτος γὰρ διαβεβοημένος ἐπὶ τῇ τοῦ λόγου δεινότητι, καὶ συγκριθεὶς παρὰ τοῖς βοιωτοῖς, κατὰ τὴν περὶ τῆς συμμαχίας δημηγορίαν πρὸς δημοσθένην, τῶν μὲν ἄλλων ἐπρώτευσε. τούτου δ᾽ ἐφάνη καταδεέστερος. καὶ δημοσθένης δὲ αὐτὸς, ὡς μέγα τι κατειργασμένος ἐν τοῖς συγγεγραμμένοις ὑπ᾽ αὐτοῦ λόγοις σεμνύνεται τῇ πρὸς τὸν ῥήτορα τοῦτον δημηγορίᾳ. ἐν οἷς λέγει. τότ᾽ ἐ-
„γὼ μὲν τῷ πύθωνι θρασυνομένῳ, καὶ πολ-
„λῷ ῥέοντι καθ᾽ ὑμῶν, οὐχ ὑπεχώρησα.

ὁ αὐτὸς, μετὰ τὴν ἐν βοιωτίᾳ μάχην τρόπαιον στήσας, καὶ τοὺς νεκροὺς εἰς ταφὴν συγχωρήσας,

ἐπινίκια τοῖς θεοῖς ἔθυε. καὶ τοὺς ἀνδραγαθή σαντας, κατὰ τὴν ἀξίαν ἐτίμησε. λέγουσι δέ τινες ὅτι καὶ παρὰ τὸν πότον πολὺν ἐμφο ρησάμενος ἄκρατον, καὶ μετὰ τῶν φίλων τὸν ἐπι νίκιον ἄγων κῶμον, διὰ μέσων τῶν αἰχμα λώτων ἐβάδιζεν. ὑβρίζων διὰ λόγων τὰς τῶν ἀκληρούντων δυστυχίας. δημάδην δὲ τὸν ῥή τορα κατ᾽ ἐκεῖνον τὸν χρόνον ἐν τοῖς αἰχμαλώτοις ὄντα, χρήσασθαι παῤῥησίᾳ, καὶ λόγον ἀποφθέγξα σθαι, δυνάμενον ἀναστεῖλαι τὴν τοῦ βασιλέ ως ἀσέλγειαν. φασὶ γὰρ εἰπεῖν αὐτόν. βασιλεῦ, τῆς τύχης σοι περιθείσης πρόσωπον ἀγαμέ μνονος, αὐτὸς οὐκ αἰσχύνῃ πράττων ἔργα θερσί του. τὸν δὲ φίλιππον τῇ τῆς ἐπιπλήξεως εὐ στοχίᾳ κινηθέντα, τοσοῦτον μεταβαλέσθαι τὴν ὅ λην διάνοιαν, ὥστε τοὺς μὲν στεφάνους ἀποῤ ῥίψαι. τὰ δὲ συνακολουθοῦντα κατὰ τὸν κῶμον σύμβολα τῆς ὕβρεως ἀποῤῥίψασθαι. τὸν δ᾽ ἄνδρα τὸν χρησάμενον τῇ παῤῥησίᾳ θαυμάσαι. καὶ τῆς αἰχμαλωσίας ἀπολύσαντα,

πρὸς ἑαυτὸν ἀμαλαβὼν ἑτοίμως. τέλος δ' ὑπὸ τοῦ δημάδου καθομαληθέντα ταῖς ἀττικαῖς χάρισι, πάντας ἀπολῦσαι τοὺς αἰχμαλώτους ἄνευ λύτρων. ὁ αὐτὸς πρὸς πέρσας ἐπανελέσθαι βουλόμενος πόλεμον, ἐπηρώτησε τὴν πυθίαν. ἡ δὲ ἔχρησεν αὐτῷ τὸν χρησμὸν τοῦτον.

ΧΡΗΣΜΟΣ.

ἔστεπται μὲμ ὁ ταῦρος. ἔχει τέλος. ἔστιν ὁ θύσων.

ἐσήμαινε δ' ὅτι, ἐμ πανηγύρεσι καὶ θεῶν θυσίαις ἐστεμμένος σφαγήσεται. ὁ δὲ, πρὸς τὸ ἴδιομ συμφέρον ἐξεδέχετο. ὡς τοῦ μαντείου προλέγοντος τὸν ἱερείου τρόπον τεθύσεσθαι.

ὁ αὐτὸς, εὐθυκράτημ καὶ λασθένην τοὺς προεστηκότας τῶν ὀλυνθίωμ διαφθείρας χρήμασι, διὰ τούτων προδοθεῖσαν τὴν ὄλυνθομ εἷλεν. ὁ αὐτὸς βουλόμενος ἑλεῖν τινα πόλιμ ὀχυρότητι διαφέρουσαν, εἰπόντος αὐτῷ τινὸς τῶν ἐγχωρίων ἀνάλωτον αὐτὴμ ἐκ βίας ὑπάρχειν, ἐπηρώτησεν εἰ οὐδ' ὁ χρυσὸς τὸ τεῖχος ὑπερβῆναι δυνατός ἐστιμ. ἦμ γὰρ εἰληφὼς πεῖραν ὅτι τὰ

τοῖς ὅπλοις ἀδύνατα χειρωθῆναι, τῷ χρυσῷ ῥᾴδιόμ ἐστι καταπολεμῆσαι. ἐγκατασκευάζων οὖν ἐν ταῖς πόλεσι προδότας διὰ τῆς δωροδοκίας, καὶ τοὺς δεχομένους τὸ χρυσίομ, ξένους καὶ φίλους ὀνομάζωμ, ταῖς πονηραῖς ὁμιλίαις διέφθειρε τὰ ἤθη τῶν ἀνθρώπων. ὁ αὐτὸς ἀθηναίους μακαρίζωμ ἔλεγεμ. εἰ καθ' ἕκαστον ἐνιαυτὸν αἱρεῖσθαι δέκα στρατηγοὺς εὑρίσκουσιν. αὐτὸς γὰρ ἐν πολλοῖς ἔτεσιμ, ἕνα μόνον στρατηγὸμ εὑρηκέναι παρμενίωνα. ὁ αὐτὸς, πολλῶμ κατορθωμάτων καὶ καλῶν ἐν μιᾷ ἡμέρᾳ προσαγγελθέντων αὐτῷ. ὦ τύχη εἶπε. μικρὸν τί μοι κακὸμ, ἀντὶ τοσούτων καὶ τηλικούτων ἀγαθῶν ποίησομ. ὁ αὐτὸς τοῖς τῶν ἀθηναίων δημαγωγοῖς ἔφη χάριν ἔχειν. ὅτι λοιδοροῦντες αὐτὸν, βελτίονα ποιοῦσι, καὶ τῷ λόγῳ καὶ τῷ ἤθει. πειρῶμαι γὰρ αὐτοὺς ἅμα καὶ τοῖς λόγοις, καὶ τοῖς ἔργοις ψευδομένους ἐλέγχειμ. ὁ αὐτὸς, τῆς κλειδὸς αὐτῷ καταγείσης ἐμ πολέμῳ. καὶ τοῦ θεραπεύοντος ἰατροῦ πάντως τι καθ' ἡμέραν αἰ

Ἰουμῖος. λάμβανε ἔφη ὅσα βούλει· τὰς γὰρ κλεῖς ἔχεις. Ὁ αὐτὸς δυοῖν ἀδελφοῖν ἀμφοτέρου καὶ ἑκατέρου ὄντοιν, τὸν μὲν ἑκάτερον ἔμφρονα καὶ πρακτικὸν ὁρῶν· τὸν δὲ ἀμφότερον, εὐήθη καὶ ἀβέλτερον, ἔφη. τὸν μὲν ἑκάτερον, ἀμφότερον εἶναι. τὸν δὲ ἀμφότερον οὐδέτερον.

Ὁ αὐτὸς, ληφθέντων πολλῶν αἰχμαλώτων, ἐπίπρασκεν αὐτοὺς ἀνεσταλμένῳ τῷ χιτῶνι καθήμενος οὐκ εὐπρεπῶς. εἷς οὖν τῶν πωλουμένων ἀνεβόησε. φεῖσαί μου φίλιππε. πατρικὸς γὰρ εἰμί σου φίλος. ἐρωτήσαντος δὲ τοῦ φιλίππου πόθεν ὦ ἄνθρωπε γενόμενος καὶ πῶς, ἐγγὺς ἔφη φράσαι σοι βούλομαι προσελθών. ὡς οὖν προσήχθη, μικρὸν ἔφη κατωτέρω τὴν χλαμύδα ποίησον. ἀσχημονεῖς γὰρ οὕτω καθήμενος. καὶ ὁ φίλιππος ἄφετε αὐτὸν εἶπεν. ἀληθῶς γὰρ εὔνους ὢν καὶ φίλος ἐλάνθανεν. Ὁ αὐτὸς, πυθόμενος ἐγκαλεῖν αὐτῷ τὸν ἀλέξανδρον ὅτι παῖδας ἐκ πλειόνων ποιεῖται γυναικῶν, οὐκοῦν ἔφη πολλοὺς ἔχων περὶ τῆς βασιλείας ἀνταγωνιστὰς,

γενοῦ καλὸς κἀγαθὸς ἵνα μὴ διʼ ἐμὲ τῆς βασι-
λείας τύχῃς, ἀλλὰ διὰ σεαυτόν. ἐκέλευε δʼ αὐ-
τὸν, ἀριστοτέλει προσέχειν. καὶ φιλοσοφεῖν. ὅπως
ἔφη μὴ πολλὰ τοιαῦτα πράξῃς, ἐφʼ οἷς ἐγὼ
πεπραγμένοις, μεταμέλομαι. διὸ καὶ ἐν τῇ γεν-
νήσει αὐτοῦ, οὕτω πρὸς ἀριστοτέλην ἔγραψεν.

ΦΙΛΙΠΠΟΣ ἈΡΙΣΤΟΤΕΛΕΙ, ΧΑΙΡΕΙΝ.

Ἴσθι μοι γεγονότα υἱόν. πολλὴν οὖν τοῖς θεοῖς χάριν
ἔχω, οὐχ οὕτως ἐπὶ τῇ γεννήσει τοῦ παιδὸς, ὡς ἐπὶ
τῷ κατὰ τὴν σὴν ἡλικίαν αὐτὸν γεγονέναι. ἐλπίζω
γὰρ αὐτὸν ὑπὸ σοῦ τραφέντα καὶ παιδευθέντα,
ἄξιον ἔσεσθαι καὶ ἡμῶν, καὶ τῆς τῶν πραγμά-
των διαδοχῆς.

ΦΩΚΙΩΝΟΣ.

Φωκίων ἔφη. οὔτε ἐξ ἱεροῦ βωμόν. οὔτε ἐκ τῆς
ἀνθρωπίνης φύσεως ἀφαιρετέον τὸν ἔλεον.
ὁ αὐτὸς ὑπʼ οὐδενὸς οὔτε γελῶν ὤφθη. οὔτε δα-
κρύων. ὁ αὐτὸς, ἐκκλησίας γινομένης, πρὸς τὸν
εἰπόντα σκεπτομένῳ ὦ φωκίων ἔοικας, ὀρθῶς
ἔφη τοπάζεις. σκέπτομαι γὰρ εἴ τι δύναμαι πε-
ριελεῖν ὧν μέλλω λέγειν πρὸς ἀθηναίους.

μαντείας γενομένης ἀθηναίοις, ὡς εἷς ἐστιν ἀνὴρ ἐν τῇ πόλει ταῖς πάντωμ ἐναντιούμενος γνώμαις, καὶ τῶν ἀθηναίων ζητεῖν κελευόντων ὅς τίς ἐστι καὶ βοώντων, φωκίωμ ἑαυτὸν ἔφησε τοῦτον εἶναι. μόνῳ γὰρ ἑαυτῷ μηδὲν ἀρέσκειν, ὧν οἱ πολλοὶ πράττουσι καὶ λέγουσιν. ὁ αὐτὸς λέγων ποτὲ γνώμην πρὸς τὸμ δῆμομ, εὐδοκίμει. καὶ πάντας ὁμαλῶς ἑώρα τὸν λόγον ἀποδεχομένους, ἐπιστραφεὶς πρὸς τοὺς φίλους εἶπε. μή κακόν τι λέγων ἐμαυτὸν λέληθα; ὁ αὐτὸς, δημοσθένους εἰπόντος ἀποκτενοῦσί σε ἀθηναῖοι ἐὰν μανῶσι, ναὶ εἶπεμ ἐμὲ μὲν ἐὰμ μανῶσι. σὲ δὲ ἂν σωφρομῶσιμ. ὁ αὐτὸς ἀριστογείτονος τοῦ συκοφάντου μέλλοντος ἀποθνήσκειν ἐν τῷ δεσμωτηρίῳ κατακρίτου γεγονότος, καὶ δεομένου τὸν φωκίωνα πρὸς αὐτὸν ἐλθεῖν. τῶν δὲ φίλωμ οὐκ ἐθελόντων πρὸς ἄνδρα πονηρὸμ βαδίζειν, καὶ ποῦ τίς ἂμ εἶπεν ἥδιομ ἀριστογείτονι λαλήσειεν. ὁ αὐτὸς αἰτοῦντος ἀλεξάνδρου τριήρεις, καὶ τοῦ δήμου κελεύοντος ὀνομαστὶ παριέ

ναι τὸν φωκίωνα καὶ συμβουλεύειν, ἀναστὰς ἔφη. συμβουλεύω τοίνυν ὑμῖν, ἢ κρατεῖν τοῖς ὅπλοις αὐτούς, ἢ φίλους εἶναι τοῖς κρατοῦσι.

ὁ αὐτὸς ἀλεξάνδρου τοῦ μακεδόνος ἑκατὸν τάλαντα χρυσίου αὐτῷ πεπομφότος, ἤρετο τοὺς κομίσαντας, τί δή ποτε πολλῶν ἀθηναίων ὄντων, αὐτῷ μόνῳ ἀλέξανδρος πέπομφε, φησάντων δὲ ὅτι ἡγεῖταί σε καλὸν καὶ ἀγαθόν, οὐκοῦν ἐάτω με καὶ εἶναι καὶ δοκεῖν τοιοῦτον. καὶ ταῦτα τοῖς κομίσασιν εἰπών, ἀπεπέμψατο μὲν τὰ χρήματα. ἀλεξάνδρῳ δὲ γέγραφεν, εἰ βούλοιτο αὐτῷ χαρίσασθαι, ἀπολῦσαι τοὺς ἐν σάρδεσιν αἰχμαλώτους. ὅπερ ἐκεῖνος πεποίηκεν.

### ΧΑΡΗΤΟΣ.

χάρης τοὺς ἀπόρρητον λόγον ἐκφέροντας, ἀδικεῖν ᾤετο, καὶ πρὸς οὓς ἐκφέρουσι. μισοῦμεν γὰρ οὐ μόνον τοὺς ἐκλαλήσαντας, ἀλλὰ καὶ τοὺς ἀκούσαντας ἃ μὴ βουλόμεθα. χαιρήμων ἔφη. οὐ ζῶσιν οἵ τι μὴ συνιέντες.

### ΧΑΡΙΛΛΟΥ.

χάριλλος ὁ βασιλεὺς ἐρωτηθείς, διὰ τί νόμους

ὀλίγους οὕτω Λυκοῦργος ἔθηκεν, ἀπεκρίνατο.
τοὺς χρωμένους ὀλίγοις λόγοις μὴ δεῖσθαι νόμων
πολλῶν. ὁ αὐτὸς, τῶν εἱλώτων τινὸς θρασύτε-
ρον αὐτῷ προσφερομένου, νὴ τὼ σιὼ εἶπε κα-
τέκτανόν τευ εἰ μὴ ὠργιζόμαν. ὁ αὐτὸς πρὸς τὸν
πυθόμενον διὰ τί κομῶσιν, εἶπεν. ὅτι τῶν κόσμων
ἀδαπανώτατος οὗτος ἐστίν. ὁ αὐτὸς, πυνθα-
νομένου τινὸς, διατί τὰς μὲν κόρας ἀκαλύ-
πτους. τὰς δὲ γυναῖκας ἐγκεκαλυμμένας εἰς
τοὐμφανὲς ἄγουσιν, ὅτι ἔφη τὰς μὲν κόρας, ἄν-
δρας εὑρεῖν δεῖ. τὰς δὲ γυναῖκας, σώζειν τοὺς ἔ-
χοντας. ὁ αὐτὸς ἐρωτηθεὶς τίνα νομίζει πολι-
τείαν ἀρίστην, ἔφη. ἐν ᾗ ἂμ περὶ ἀρετῆς πλεῖ-
στοι πολιτευόμενοι πρὸς ἀλλήλους, ἄνευ στά-
σεως ἀγωνίζονται. ΧΑΡΩΝΔΟΥ.

Χαρώνδας ἔν τινι νομοθεσίᾳ τάδε ἔφη. ὁ παι-
σὶν αὐτοῦ μητρυιὰν ἐπάγων, μήτε εὐδοκιμείσθω.
μήτε μετεχέτω λόγου παρὰ τοῖς πολίταις. ὡς ἐ-
πείσακτον κακὸν κατὰ τῶν ἑαυτοῦ πραγμάτων πε-
πορισμένος. εἴτε ἐπέτυχες γάρ φησι γήμας
τὸ πρότερομ, εὐημερῶν κατάπαυσον. εἴτε οὐκ

ἐπέτυχες, μανικὸν τὸ πεῖρας δευτέρας λαβεῖν πάλιν. ταῖς γὰρ ἀληθείαις, οὐδεὶς ἐν τοῖς αὐτοῖς πράγμασιν ἁμαρτάνων, ἄφρων ἂν δικαίως νομισθείη.

ΧΑΒΡΙΟΥ.

χαβρίας ἔλεγε κάλλιστα στρατηγεῖν, τοὺς μάλιστα γινώσκοντας τὰ τῶν πολεμίων. ὁ αὐτὸς δίκην φεύγων προδοσίας μετὰ ἰφικράτους, ἐπιτιμῶντος αὐτῷ τοῦ ἰφικράτους, ὅτι κινδυνεύων εἰς τὸ γυμνάσιον βαδίζει, καὶ τὴν εἰωθυῖαν ὥραν ἀριστᾷ, τοιγαροῦν εἶπεν, ἂν ἄλλο τι γνῶσι περὶ ἡμῶν ἀθηναῖοι, σὲ μὲν αὐχμῶντα καὶ ἄσιτον. ἐμὲ δὲ, ἠριστηκότα καὶ ἀληλειμμένον ἀποκτενοῦσιν. ὁ αὐτὸς εἰώθει λέγειν, ὅτι φοβερώτερόν ἐστιν ἐλάφων στρατόπεδον, ἡγουμένου λέοντος, ἢ λεόντων ἐλάφου.

ΧΙΛΩΝΟΣ.

χίλων δαμαγήτου λακεδαιμόνιος, ἐρωτηθεὶς τί χαλεπώτατον, τὸ γινώσκειν ἑαυτὸν ἔφη. χρήσιμον γὰρ εἰς νουθεσίαν τῶν ἀλαζόνων, οἳ ὑπὲρ τὴν ἑαυτῶν δύναμιν φλυαροῦσιν. ὁ αὐτὸς, ἐν λιθίναις ἀκόναις ὁ χρυσὸς ἐξετάζεται.

διδοὺς βάσανον φανεράν. ἐμ δὲ χρυσῷ, ἀν-
δρῶν ἀγαθῶν τε κακῶν τε νοῦς, ἔδωκεν ἔλεγ-
χον. ὁ αὐτός. λυπουμένου τινὸς ἐπὶ τοῖς αὐ-
τοῦ κακοῖς, εἶπεν. εἰ τὰ πάντα κατανοήσεις, ἧτ-
τον περὶ τῶν σεαυτοῦ δυσφορήσεις.

### Ὁ ΑΥΤΟΣ, ΤΑΔΕ ΠΡΟΣΕΤΑΤΤΕ.

γλῶσσαν κρατεῖν. καὶ μάλιστα ἐμ συμποσίῳ. μὴ
κακολογεῖν τοὺς πλησίον. εἰ δὲ μή, ἀκούσε-
σθαι, ἐφ' οἷς λυπηθήσεσθαι. μὴ ἀπειλεῖν μη-
δενί. γυναικῶδες γάρ. ταχύτερον ἐπὶ τὰς ἀ-
τυχίας τῶν φίλων, ἢ ἐπὶ τὰς εὐτυχίας πορεύε-
σθαι. γάμον εὐτελῆ ποιεῖσθαι. τεθνηκότα
μὴ κακολογεῖν. γῆρας τιμᾶν. φυλάττειν ἑαυ-
τόν. ζημίαν αἱρεῖσθαι μᾶλλον ἢ κέρδος αἰ-
σχρόν. ἡ μὲν γὰρ ἅπαξ ἐλύπησε. τὸ δὲ, διὰ
παντός. ἀτυχοῦντι μὴ ἐπιγελᾶν. ἰσχυρὸν
ὄντα, πρᾷον εἶναι. ὅπως οἱ πλησίον αἰδῶνται
μᾶλλον, ἢ φοβῶνται. μανθάνειν. τῆς αὑτοῦ
οἰκίας καλῶς προστατεῖν. τὴν γλῶτταν μὴ
προτρέχειν τοῦ νοῦ. θυμοῦ κρατεῖν. μαντικὴν

μὴ ἐχθαίρειν. μὴ ἐπιθυμεῖν ἀδυνάτων. ἐν ὁδῷ μὴ σπεύδειν. λέγοντα μὴ κινεῖν τὴν χεῖρα. μανικὸν γάρ. νόμοις πείθεσθαι. ἠρεμίᾳ χρῆσθαι. ἐγγύη πάρα δ' ἄτα.

ΧΟΡΙΚΙΟΥ.

χορίκιος ἔφη. τὸ ἐκ φύσεως ἀγαθὸν, ἀδόκιμον. τὸ δὲ ἐκ προαιρέσεως, ἐπαινετόν. χορῶν γὰρ τριῶν ὄντων κατὰ τὰς τρεῖς ἡλικίας ἐν λακεδαίμονι, καὶ συνισταμένων ἐν ταῖς ἑορταῖς, τῶν γερόντων ἀρχόμενος, ἦδεν. ἄμμες ποτ' ἦμες ἄλκιμοι νεανίαι. εἶτα ὁ τῶν ἀκμαζόντων ἀνδρῶν ἀμειβόμενος, ἄμμες δέ γ' ἐσμέν. αἰ δὲ λῇς, αὐγάσδεο. ὁ δὲ τρίτος ὁ τῶν παίδων, ἄμμες δέ γ' ἐσσόμεθα πολλῷ κάρρονες.

ΧΡΥΣΙΠΠΟΥ.

χρύσιππος ἐρωτηθεὶς, διατί οὐ πολιτεύεται, εἶπε. διότι εἰ μὲν πονηρὰ πολιτεύηται, τοῖς θεοῖς ἀπαρέσκει. εἰ δὲ χρηστὰ, τοῖς πολίταις. ὁ αὐτὸς εἰπόντος αὐτῷ τινος, ὁ φίλος σε λάθρα λοιδορεῖ, εἶπε. μὴ ἔλεγχε αὐτόν. ἐπεὶ φανερῶς αὐτὸ μέλλει ποιεῖν. ὁ αὐτὸς ὅτι σε τινὲς λοιδο-

ροῦσιν τινὸς ἐπόντος, ἀλλ' ἐγώ ἔφη οὕτω διάξω, ὥστε ἐπίστασθαι αὐτούς. ὁ αὐτὸς ὀνειδισθεὶς ὑπό τινος ὅτι οὐχὶ παρὰ ἀρίστωνι μετὰ πολλῶν σχολάζει, εἰ τοῖς πολλοῖς εἶπε προσεῖχον, οὐκ ἂν ἐφιλοσόφησα. πρὸς τὸν κατεξανιστάμενον κλεάνθους διαλεκτικὸν, καὶ προτείνοντα αὐτῷ σοφίσματα, πέπαυσο εἶπε περιέλκων τὸν πρεσβύτερον ἀπὸ τῶν πραγματικωτέρων. ἡμῖν δὲ τὰ τοιαῦτα προύτεινε τοῖς νέοις. πάλιν ἐπεί τις ζητῶν κατὰ μόνας αὐτῷ διελέγετο εὐσταθῶς. ἐπεὶ δὲ θεωρῶν προσιόντα ὄχλον ἤρχετο φιλονεικεῖν, ἔφη. οἴμοι κασίγνητε. ὄμμα σὸν ταράσσεται. ταχὺς δὲ μετέθου λύσσαν, ἀρτίως φρονῶν. ὁ αὐτὸς ἐν ταῖς οἰνώσεσιν ἡσύχαζε παραφερόμενος τοῖς σκέλεσιν, ὥστε εἰπεῖν τὴν δούλην, χρυσίππου μόνα τὰ σκέλη μεθύει. οὕτω δ' ἦν φρονηματίας, ὥστε ἐρομένου τινὸς, τίνι συστήσω τὸν υἱὸν, εἰπεῖν ἐμοί. καὶ γὰρ εἰ ὑπελάμβανον εἶναι τινὰ ἐμοῦ βελτίονα, παρ' αὐτῷ ἂν ἐγὼ ἐφιλοσόφουν. ὅθεν φασὶν ἐπ' αὐτοῦ λεχθῆναι. οἶος πέπνυται, τοὶ δὲ σκιαὶ ἀΐσσουσι.

καὶ εἰ μὴ γὰρ ἦν χρύσιππος, οὐκ ἂν ἦν στοά.

ΧΡΥΣΙΠΠΟΣ ΑΠΟΛΛΩΝΙΟΥ ΣΟΛΕΥΣ, Η ΤΑΡΣΕΥΣ, ΗΡΩΤΑ ΤΟΙΟΥΣΔΕ ΤΙΝΑΣ ΛΟΓΟΥΣ.

Εἴ τις ἐστὶν ἐν μεγάροις, οὐκ ἔστιν ἐμ ἀθήναις. ἄνθρωπος δέ ἐστιν ἐμ μεγάροις, οὐκ ἄρα ἐστὶν ἄνθρωπος ἐμ ἀθήναις. εἴ τι λαλεῖς, τοῦτο σοῦ διὰ τοῦ στόματος ἔρχεται· ἅμαξαν δὲ λαλεῖς, ἅμαξα σοῦ ἄρα διὰ τοῦ στόματος ἔρχεται. εἴ τι οὐκ ἀπέβαλες, τοῦτο ἔχεις· κέρατα οὐκ ἀπέβαλες, κέρατα ἄρα ἔχεις. ὁ λέγων τοῖς ἀμυήτοις ἀσεβεῖ. ὁ ἱεροφάντης λέγει τοῖς ἀμυήτοις, ἄρα ἀσεβεῖ. ἔστι τίς κεφαλή. ἐκείνην δ' οὐκ ἔχεις. ἔστι δέ τις κεφαλή. οὐκ ἄρα ἔχεις κεφαλήν.

ΨΑΦΩΝ.

Ψάφωνος ὄρνιθες. ἐπὶ τῶν μεγίστην δόξαν ἑαυτοῖς θηρωμένων. ἐν λιβύῃ ἀνὴρ λίβυς, ψάφων ὄνομα. ἐρασθεὶς εὐδαιμονίας, οὐ ταπεινῆς μὰ δία. οὐδὲ τῆς περιθεούσης ταύτης. ἀλλὰ ἤθελε γὰρ θεὸς εἶναι δοκεῖν. ξυλλαβὼν οὖν τῶν ᾠδικῶν ὀρνίθων πολλοὺς, ἐδίδασκεν ᾄδειν τοὺς ὄρνιθας, μέγας θεὸς ψάφων. καὶ ἠφίει αὖθις ἐπὶ τὰ

οἱ αὐτοί τε ᾖδον. καὶ οἱ ἄλλοι ὄρνιθες ἐθιζόμε-
νοι τῇ φωνῇ. λίβυες δὲ θείαν νομίσαντες εἶ-
ναι τὴν φήμην, ἔθυον ψάφωνι. καὶ ἦν αὐτοῖς θε-
ὸς ὑπὸ ὀρνίθων χειροτονούμενος. ψευδόμε-
νοι δέ σε φασὶ διὸς γόνον αἰγιόχοιο εἶναι. ἀλλο-
τρίοις αὐτοῦ ἐκείνου, ἐφ' ᾧ αὐτὸς αὐχεῖ. ἄλογος
δὲ ὁ μὴ τὰ ἑαυτοῦ διεξιών. ἀλλὰ τὰ τοῦ πα-
τρός. ἠρέμα οὖν ἐλέγχει ὁ ποιητὴς, τοὺς ἐπὶ πα-
τράσιν αὐχοῦντας, καὶ τούτου χάριν πρωτεύειν
ἐθέλοντας. διὸ καὶ τληπόλεμον ἀναιρεῖ.
ψευδόμενον οὐ χρὴ ἐλέγξαι διὰ τὸ συμβησόμε-
νον ἄτοπον. τοῦτο δ' ἐστὶν ἐπιορκία. ψεύδε-
σθαι ἀνελεύθερον. ἀλήθεια γενναῖον. ψευδέ-
σιν ἄρκις φίλος. ψεκὰς ἢ δρόσος. οὕτως ἐ-
καλεῖτο ἀντίμαχος. πτυελώδης ὤν. οὗτος
δὲ μελῶν ἦν ποιητής. οὕτω δὲ ἐκαλεῖτο, διό-
τι προσέρραινε τοῖς ὁμιλοῦσι διαλεγόμενος.
ψευδόπυρα διόπτασα. ταῦτα διὰ νυκτὸς γίνε-
ται πρὸς τὴν τῶν πολεμίων κατάπληξιν. ἵνα
δείξωσιν, ὅτι πλῆθος πολὺ στρατοπέδου ἐστί.

τυχῆς

τυχῆς ἀγαθῆς πατρὶς ὁ σύμπας κόσμος. τυχῆς μέγας χαλινός ἐστιν ὁ νοῦς. ψυχῆς γὰρ οὐδὲν ἐστι τιμιώτερον. ψυχὴ δ' ἐκ ῥεθέων πταμένη ἄϊδόσδ' ἐβεβήκει, ὃν πότμομ γοόωσα. δῆλον μὲν ἐντεῦθεν, ὅτι πνεῦμα ἐστὶν ἡ ψυχή. κατὰ παντὸς οἰκοῦν τοῦ σώματος. ὃν πότμον γοόωσα. ἔλεγε πυθαγόρας, ὅτι ἡ ψυχὴ τελευτῶντος ἀνθρώπου καὶ τῶν ἄλλων ἁπάντων, ἀπαλλαγεῖσα τοῦ σώματος, ἐν ἐκείνῳ γίνεται, ἐμ ᾧ ἂν πλανωμένη ἐγκαταληφθῇ γενομένῳ ζώῳ. ἢ καὶ ἐμ φυτῷ. τοῦτο ὅμηρος ἐμ τῷ ἕκτορος καὶ πατρόκλου θανάτῳ προὔβαλεν. γενναίους γὰρ ἄμδρας παράγων ἀποθνήσκοντας, τὴν ψυχήν φησιν ἀπαλλαττομένην θρηνεῖν τὴν μοῖραν αὐτῆς. ἀχθομένημ ὅτι καταλείπει ἀκμάζοντα καὶ εὐγενῆ σώματα. καὶ δεδοικυῖαν μὴ ἐγκαταληφθῇ μοχθηρῷ τινὶ γεννωμένῳ. ἢ λυπηθήσεται συνοῦσα. ἢ ἐπί τινι ἄλλῳ, εἰκὸς ἄχθεσθαι ἀθάνατομ οὖσαμ. ἅμα δὲ διὰ τοῦτο, καὶ πρὸς ἀρετὴν ἡμᾶς προτρέπει. δηλῶν ὡς τὰ γενναῖα σώματα καὶ ἡ ψυχὴ κατα

λιποῦσα θρηνεῖ. κακῶς δὲ τοῦτο ἔλεγεν ὁ πυθαγόρας. ὅτι ἡ ψυχὴ μετὰ τὸ ἐξελθεῖν, εἰς φυτά τινα καὶ σώματα καὶ θάμνους μεταβάλλεται. ὅθεν καὶ λελύπηται. λυπεῖται δὲ, μήποτε ἀνάξια πράξασα ἑαυτῆς ἀναξίως περιπέσῃ. καὶ ὅτι σῶμα ἐᾷ ἀκμάζον. πρὸς ἀρετὴν δὲ μᾶλλον ὁ ποιητὴς συγκαλεῖ. μήποτε κακὰ διαπραξάμενοι, τῶν αὐτῶν περιπέσωμεν. ἀνδροτῆτα δὲ οὐ τὴν ἀνδρείαν, ἀλλὰ τὴν ἀνθρωπότητα. τὴν ἀνδρὸς φύσιν. ἀνδρείαν γὰρ οὐ καταλείπει. ἀρετὴν οὖσαν ἰδίαν. τωριῶσα κάμηλος, πολλῶν ὄνων ἀνατίθεται φορτία. ἐπὶ τῶν ἐν γήρᾳ μὲν ὄντων ἢ δυστυχίαις. πολλῶν δὲ ἄμεινον ἐχόντων.

## ὨΡΙΩΝ.

ὠρίων ἐστὶν ἄστρον μέγιστον ἐν τῷ οὐρανῷ κατηστερισμένον οὕτω. ὑριεὺς ὁ ποσειδῶνος καὶ ἀλκμήνης μιᾶς τῶν ἄτλαντος θυγατέρων, ᾤκει μὲν ἐν τανάγρᾳ τῆς βοιωτίας. φιλοξενώτατος δὲ γενόμενος, ὑπεδέξατό ποτε καὶ θεούς. ζεὺς δὲ καὶ ποσειδῶν καὶ ἑρμῆς ἐπιξενωθέντες αὐτῷ, καὶ

τὴν φιλοξενοσύνην ἀποδεξάμενοι, παρῄνεσαν αὐτὸν ὅ, τι ἂν βούλοιτο. ὁ δὲ ἄτεκνος ὤν, ᾐτήσατο παῖδα. λαβόντες οὖν οἱ θεοὶ τὴν τοῦ ἱερευθέντος αὐτῷ βοὸς βύρσαν, ἀπεσπέρμηναν εἰς αὐτήν, καὶ ἐκέλευσαν κρύψαι κατὰ γῆν, καὶ μετὰ δέκα μῆνας ἀνελέσθαι. ὧν διελθόντων, ἐγένετο οὐρίων. οὕτως ὀνομασθεὶς διὰ τὸ οὐρῆσαι τοὺς θεούς. εἶτα κατ᾽ εὐφημισμὸν ὠνομάσθη ὠρίων. συγκυνηγετῶν δὲ ἀρτέμιδι, ἐπεχείρησεν αὐτὴν βιάσασθαι. ὀργισθεῖσα δὲ ἡ θεός, ἀνέδειξεν ἐκ τῆς γῆς σκορπίον. ὃς αὐτὸν δήξας καὶ πλήξας κατὰ τὸν ἀστράγαλον, ἀπέκτεινεν. ζεὺς δὲ συμπαθήσας, αὐτὸν κατηστέρισε. διὸ τοῦ σκορπίου ἀνατέλλοντος, ὁ ὠρίων δύνει. ἡ ἱστορία παρὰ εὐφορίωνι.

ΤΙΜΟΚΛΕΟΥΣ.

ὦ τᾶν ἄκουσον ἤν τί σοι δοκῶ λέγειν. ἄνθρωπός ἐστι ζῶον ἐπίπονον φύσει. καὶ πολλὰ λυπηρὰ ὁ βίος ἐν ἑαυτῷ φέρει. παραψυχὰς οὖν φροντίδων ἀνεύρατο ταύτας. ὁ γὰρ νοῦς τῶν ἰδίων λήθην λαβών, πρὸς ἀλλοτρίῳ τε ψυχαγωγηθεὶς

πάθῃ, μετὰ ἡδονῆς ἀπῆλθε παιδευθεὶς ἅμα.
τοὺς γὰρ ῥαψῳδοὺς πρῶτον εἰ βούλει σκόπει,
πῶς ὠφελοῦσι πάντας. ὧν μὲν γὰρ πένης, πτω-
χότερον αὐτοῦ καταμαθὼν τὸν Τήλεφον γενόμε-
νον, οὕτω τὴν πενίαν ῥᾷον φέρει. ὁ νοσῶν τι μα-
νικὸν, ἀλκμέωνα ἐσκέψατο. ὀφθαλμιᾷ
τὶς, οἰδίπουν ἴδε τυφλόν. τέθνηκέ τῳ παῖς, ἡ νιό-
βη κεκούφικε. χωλός τίς ἐστι, τὸν φιλοκτήτην
ὁρᾷ. γέρων τὶς ἀτυχεῖ, κατέμαθε τὸν οἰνέα.
ἅπαντα γὰρ τὰ μείζονα, ἢ πέπονθέ τις, ἀτυ-
χήματα ἄλλοις γεγονότα ἐνθυμούμενος, τὰς αὐ-
τὸς αὑτοῦ συμφορὰς ἧττον στένει. ὦ βασιλεῦ.
καὶ τόδε ἐς θυμὸν βάλε. ὡς τοῖσι μὲν χρηστοῖ-
σι τῶν ἀνθρώπων, κακοὶ δοῦλοι φιλέουσι γίγνεσθαι.
τοῖσι δὲ κακοῖσι χρηστοί. ὦ γῆρας, οἵαν ἐλπί-
δ' ἡδονῆς ἔχεις. καὶ πᾶς τις εἰς σὲ βούλεται ἀνθρώ-
πων μολεῖν. λαβὼν δὲ πεῖραν, μεταμέλειαν λαμ-
βάνει. ὤδινεν ὄρος, καὶ ἔτεκε μῦν, ἐπὶ τῶν μεγά-
λα λεγόντων, εἶτα ἀποτελούντων μικρά. ὦ ζεῦ
πολυτίμηθ' οἷον ἐστὶν ἐλπὶς κακόν. ὦ ἡρά-
κλεις, τί μαίνῃ. ἐπὶ τῶν θυμουμένων. ὦ θνητῶν

ἀνδρῶν καὶ ταλαιπώρων γένος, ὡς οὐδὲν ἐσμὲν πλὴν σκιαῖς ἐοικότες. βάρος περιττὸν γῆς ἀναστρεφόμενοι. ὢ τί ἱκανὸν οὐδέν, τούτῳ γε αἰσχρὸν οὐδέν. τιμόθεος ὁ κόνωνος εἶπε τοῦτο πρὸς ἀριστοφῶντα τὸν ἀζηνιέα πάντων ἄριστα ἔχοντα λόγον, πλὴν γε ἄσωτον ὄντα. ὢ σκληρὰ ἀκούσας. οἰκτρὰ γὰρ τὰ δυστυχῆ. ὤμοσεν. ἀλλὰ λέγουσιν ἀληθέα τοὺς ἐν ἔρωτι ὅρκους, μὴ δύνειν οὔατ' ἐς ἀθανάτων. ὧν τοῖς θεοῖς ἄνθρωπος εὔχεται τυχεῖν, τῆς ἀθανασίας κρεῖττον οὐδὲν εὔχεται. ὧν γάρ τις γλίχεται τυχεῖν, ἐκεῖνα καὶ δοξάζει. καὶ ταῦτα πᾶσι κατὰ νοῦν, ὅσα καὶ κατὰ γνώμην. ἀλλ' ἄρα δυσποτμότερον οὐδέν ἐστιν ἀνθρώπου. ἔχοντος τοὺς ἐχθαίροντας οἰκείους ταυτὸς ἐλέγχους. ἂν μὲν ἔνδον ἔχῃς τοὺς ἐχθροὺς ἂν ἐφεστίους τρέφῃς, οὐ ῥύσονται κινδύνων σε τὰ βαβυλῶνος τείχη. οὐ πύργοι σεμιράμιδος, οὐ πυραμίδων πάχος. ἂν τὴν προδότιαν ψυχὴν σύνοικον δυστυχήσῃς. ἂν συνοικοίης μετ' αὐτῶν ἐν ἀρραγεῖ φρουρίῳ, ἁλώσιμον τὸ φρούριον, ἀφύλακτος ἡ πόλις. ὢ οἷα κεφαλὴ

καὶ ἐγκέφαλον οὐκ ἔχει. ἐπ᾿ ἀνδρῶν μεγαλοπρε
πῶν μὲν τῷ σώματι. κατὰ ψυχὴν δὲ ἀλογί
στων. ὦ παῖ σιώπα. πόλλ᾿ ἔχει σιωπὴ καλά.
ὅρα σε θυμοῦ κρείσσονα γνώμην ἔχειν. ὡς
οὐκ ἔστι λέουσι καὶ ἀνδράσιν ὅρκια πιστά. ὡς μέ
γα τὸ μικρὸν ἐστὶν ἐν καιρῷ δοθέν. ὡς σὺν θε
οῖσι τοὺς σοφοὺς κινεῖν δόρυ στρατηλάταις
χρή. τῶν θεῶν δὲ μὴ βίᾳ. ὡς ἔστι τὸ γαμεῖν ἔ
σχατον τοῦ δυστυχεῖν. ὡς ἡδὺ τῷ φύσαντι παί
δεσθαι τέκνα. ὦ τὰς φρένας μὲν ἄρσενας
κεκτημένη, τὸ σῶμα δ᾿ ἐν γυναιξὶ θηλείαις
πρέπον. ὦ υἱὲ πετεῶο διοτρεφέος βασιλῆ
ος. καὶ σὺ δόλοισι κεκασμένε κερδαλεόφρον.
τὸν μὲν, τῇ τοῦ πατρὸς ὑπεροχῇ κατήσχυνε.
τῷ δὲ παῤῥησιαστικώτερον ὡς φίλῳ ἐπιφέ
ρεται. τοῖς ἄλλοις διὰ αὐτοῦ, μείζονα τὴν προσβο
λὴν ποιῶν. Χριστὲ ἄναξ παῖ παρθενομήτο
ρος, οὔποτε σεῖο λήσομαι ἀρχόμενος οὐδ᾿ ἀπο
παυόμενος. ἀλλ᾿ αἰεὶ πρῶτόν τε καὶ ὕστατον
ἔν τε μέσοισιν ἀείσω. σὺ δὲ μευ κλῦθι καὶ ἐ
σθλὰ δίδου. ΤΕΛΟΣ.

Ὕψιστε πατήρ. υἱέ, καὶ παράκλητε, τριὰς ὁμότι-
με. ταῖς τοῦ κορυφαίου σου τῶν ἀποστόλων
Πέτρου δεήσεσι, δεκάτῳ Λέοντι πρόστηθι
κατὰ βαρβάρων ἀεί. τῇ δὲ ῥώμῃ, ἄσειστον. ἀ-
κλόνητον. ἐρηναίαν παράσχου κατάστασιν.

Excelsissime pater, fili, & spiritus san-
cte, Trinitas unius honoris, apostolorum
principis Petri precibus decimo Leo-
ni, sis pręsidio semper, Contra bar-
baros, ac urbi Romę quieta, imper-
turbata, pacata præbeas tempora.

ἡ τῶν τετραδίων ἀκολουθία.

α. β. γ. δ. ε. ζ. η. θ. ι. κ. λ. μ. ν. ξ. ο.

Ἅπαντά εἰσι τετράδια. πλὴν τοῦ ο, δυαδίου.

ΓΈΡΑΣ ΕἸ ΜΌΝΟΝ ὈΝΟΜΆΣΕΙΑΣ ΣΠΆΝΙ
ΟΝ ΤῶΝ ΣΠΟΥΔΑΊΩΝ, ΟὐΚ
ἊΝ ἉΜΆΡΤΟΙΣ ΔΗΛΑ
ΔῊ, ΤῆΣ ἈΛΗΘΕΊ
ΑΣ ΦΊΛΕ.

# ΔΙΑΛΟΓΟΣ.

ΤᾺ ΤΟΥ͂ ΔΙΑΛΌΓΟΥ ΠΡΌΣΩΠΑ. ΦΙΛΟΜΑΘΉΣ. ΒΙΒΛΙΟΠΏΛΗΣ. ΚΑῚ ΒΊΒΛΟΣ.

ΠΡΟΛΟΓΊΖΕΙ Ὁ ΦΙΛΟΜΑΘΉΣ.

Ἦ ῥ' ἔτι καινόν γε κἀκτετύπωκας βιβλιοπῶλα;
ναὶ φίλ' ἔναγχος ναὶ κεῖνο τὸ βιβλάριον.
Βωκαικῆς ἔπη, ἢ ἀσκραίης ἔνδον ἐέργεις
Μώσης ὦ βίβλε, ἀλλ' εἰπέ μοι εἰρομένῳ.
ῥήτορας ἠδὲ σοφούς, δὴ πόθεν ἐγὼ κατελέγχω.
κἀυτὸν μαιονίδην, λωποδύτας προτέρων.
ἀλλὰ δραχμὴν κάτθου πρὶν μ' ἀνὰ χεῖρας ἀείρῃς.
καί κεν ἴδοις παρ' ἐμοί, πολλά τε τῶν σπανίων.
ὡς βραχύς ἐσθ' ὁ βίος. κακοδαιμονίης τ' ἀνάμε- (στος.
γνωτέαι ὡς δή σοι, πάρεστι σιμωνίδεω.
γάρ τε φιλήμονος, ἠδὲ μενάνδρου. ἀλλὰ καὶ αὐτοῦ
ἔκφρασιν εἰδείης, τοῦ ἀθλίου βιότου.
Αὖθις ψέλλου ἰάμβους ἐς ἀρετὰς κακίας τέ.
καὶ ἀναγωγὰς τῆς ἱστορίης μυθικῆς.

ταντάλου. ἡ δὲ σφιγγός. κίρκης φαρμακίδος τε.
Αἴγε ἑρμηνείης ἔμμορομ οὐρανίης.
Ταῦτ᾽ ἀναλεξάμενος, σπάνιον χρῆμα σπουδαίοις.
τῆς μουνεμβασίης, προὔθετο ἀρσένιος.
τὴν δραχμὴν λαβὲ βιβλιοπῶλ᾽ ἰδού, ἀλλὰ καὶ αὐ
τὴν βίβλον σχὼμ, ἀσπασίως ἄπιθι. (τός.
καὶ μετὰ μικρὸμ λήψη πάντων ἥνγε πανέλθης.
τὰ προφθέγματα δή, τῶν σοφίης φοφίμων.

## ΟΤΙ ΟΙ ΦΙΛΟΣΟΦΟΙ ΚΑΙ ΟΙ ΡΗΤΟΡΕΣ ΑΛΛΗΛΩΝ ΚΛΕΠΤΑΙ. ΠΟΡΦΥΡΙΟΥ ΕΚ ΤΟΥ ΠΡΩΤΟΥ ΤΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΑΚΡΟΑΣΕΩΣ.

Τ

Ἀ πλωτίνια ἑστιῶν ἡμᾶς ὁ λογγῖνος ἀθήνησι, κέκληκεν ἄλλους τε πολλούς, καὶ νικαγόραμ τὸν σοφιστήν, καὶ μαιόρα. ἀπολλώνιόν τε τὸμ γραμματικόμ. καὶ δημήτριον τὸν γεωμέτρην. προσήνην τε τὸν περιπατητικόν. καὶ τὸν στωϊκὸμ καλλιέτην. μεθ᾽ ὧμ ἕβδομος αὐτὸς κατακλιθείς. τοῦ δείπνου οὖμ προκόπτομτος. καί τινος ζητήσεως περὶ ἐφόρου ἐν τοῖς ἄλλοις γενομένης, ἀκούσωμεμ ἔφη τίς ὁ περὶ ἐφόρου θόρυβος. ἦσαν δὲ οἱ ζητοῦμτες, καΰστριός τε καὶ μάξιμος. ὁ μὲμ γὰρ αὐτὸν καὶ θεοπόμπου προυτίθει. ὁ δὲ καΰστριος κλέπτην ἀπεκάλει, καὶ τί γὰρ ἐφό ρου ἴδιον ἐκ τῶν Δαϊμάδου. καὶ καλλιθέ νους. καὶ ἀμαξιμένους αὐταῖς λέξεσιν ἔστιν

ὅτε, δισχιλίους μεταπιθέντος στίχους. πρὸς
ὃν ὁ γραμματικὸς ἀπολλώνιος ἔφη. οὐ γὰρ
ἔγνως ὅτι καὶ τὸμ θεόπομπον ὃν σὺ προτι
μᾷς, κατείληφε τουτὶ τὸ πάθος; ἐν μὲν τῇ
ἐνδεκάτῃ τῶν περὶ φίλιππον ἐκ τοῦ ἰσοκρά
τους ἀρεοπαγιτικοῦ μεταγράψαντα αὐτοῖς
ὀνόμασιμ ἐκεῖνα, ὅτι τῶμ ἀγαθῶμ καὶ τῶμ
κακῶν οὐδὲν αὐτὸ καθ᾽ αὑτὸ παραγίγνεται
τοῖς ἀνθρώποις. καί τοι ὑπερφρονεῖ τὸν ἰσο
κράτην. ἢ νενικῆσθαι ὑφ᾽ ἑαυτοῦ λέγει
κατὰ τὸμ ἐπὶ μαυσώλῳ ἀγῶνα τὸν
διδάσκαλον. πραγμάτων δ᾽ ὑφαι
ρέσιν πεποίηται, μεταθεὶς
τὰ ἐπ᾽ ἄλλων ἄλλοις,
ἵνα καὶ ψεύστης
ἁλῷ.

## ὍΤΙ ΟἹ ΦΙΛΌΣΟΦΟΙ ΚΑῚ ΟἹ ῬΉΤΟΡΕΣ, ἹΣΤΟΡΙΚΟΊ ΤΕ ΚΑῚ ΠΟΙΗΤΑΊ, ἌΛΛΟΣ ἌΛΛΟΥ ΤᾺ ἜΠΗ ΚΑῚ ΤᾺΣ ῬΉΣΕΙΣ ΣΥΛΩ͂ΝΤΕΣ, ΜΕΤΑΦΡΆΖΟΥΣΙΝ.

### ἘΚ ΤΩ͂Ν ΚΛΉΜΕΝΤΟΣ ΣΤΡΩΜΆΤΩΝ.

τοῦ ὀρφέως εἰπόντος,

ὡς οὐ κύντερον ἦν καὶ ῥίγιον ἄλλο γυναικός.

μεταφράζων ὅμηρος λέγει.

ὡς οὐκ αἰνότερον καὶ κύντερον ἄλλο γυναικός,

πάλιν τοῦ μουσαίου ποιήσαντος,

ὡς δ' αὔτως καὶ φύλλα φύει ζείδωρος ἄρουρα.
ἄλλα μὲν ἐν μελίῃσιν ἀποφθίνει. ἄλλα δὲ φύει,
ὡς δὲ καὶ ἀνθρώπων γενεὴ καὶ φῦλον ἑλίσσει.

ὅμηρος μεταγράφει λέγων.

φύλλα τὰ μὲν τ' ἄνεμος χαμάδις χέει. ἄλλα δὲ θ'
τηλεθόωσα φύει. ἔαρος δ' ἐπιγίγνεται ὥρη, ὕλη
ὡς ἀνθρώπων γενεὴ ἡ μὲν φύει, ἡ δ' ἀπολήγει.

πάλιν δ' αὖ ὁμήρου εἰπόντος,

οὐχ ὁσίη κταμένοισιν ἐπ' ἀνδράσιν εὐχετάασθαι.

Ἀρχίλοχος καὶ κρατῖνος γράφουσιν. ὁ μὲν,
οὐ γὰρ ἐσθλὰ κατθανοῦσι κερτομεῖν ἐπ' ἀνδρά-
κρατῖνος δὲ ἐν τοῖς λάκωσι. (σι.
τὸ δ' αὖ κταμένοις ἐπ' αἰζηοῖσι καυχᾶσθαι μέγα.
Αὖθις ὁμήρου φήσαντος,
Ἀνιπτόποδες χαμαιεῦναι.
εὐριπίδης οὕτω γράφει.
εὕδουσιν ἐν ἀστρώτῳ πέδῳ.
πηγαῖς δ' οὐχ ὑγραίνουσι πόδας.
πάλιν ὁμήρου ποιήσαντος.
Ἄλλος γὰρ ἄλλοισιν ἀνὴρ ἐπιτέρπεται ἔργοις.
Ἀρχίλοχος παραφράζων λέγει.
Ἀλλ' ἄλλος ἄλλῳ καρδίην ἰαίνεται.
Αἰσχύλου δὲ εἰπόντος,
οἴκοι μένειν χρὴ τὸν καλῶς εὐδαίμονα.
καὶ τὸν κακῶς πράσσοντα καὶ τοῦτον μένειν.
εὐριπίδης οὕτω λέγει.
μακάριος ὅστις εὐτυχῶν, οἴκοι μένει.
Ἀλλὰ καὶ μένανδρος.
οἴκοι μένειν χρὴ, καὶ μένειν ἐλεύθερον.

ἢ μηκέτ' εἶναι τὸμ καλῶς εὐδαίμονα.

θεόγνιδος δὲ λέξαμτος,

οὐκ ἔστι φεύγοντι φίλος καὶ πιστὸς ἑταῖρος.

εὐριπίδης οὕτω γράφει.

πένητα φεύγει πᾶς τις ἐκποδὼμ φίλος.

ἔτι εὐριπίδης ἐξ ἐπιχάρμου λέγοντος.

ὁ μὲμ γὰρ ἄλλην λαμβάνει νεάνιδα.

ἄλλον δ' ἄλλη μαστεύει τινά.

κακὸμ γυναῖκα πρὸς νέον ζεῦξαι γραῖαν.

ὁ μὲν γὰρ ἄλλης λέκτρομ ἱμείρει λαβεῖμ.

ἡ δ' ἐνδεὴς τοῦδ' οὖσα, βουλεύει κακά.

εὐριπίδου πάλιν ἀπόμτος,

κακοῦ γὰρ ἀνδρὸς δῶρ' ὄνησιν οὐκ ἔχει.

σοφοκλῆς οὕτω φησίμ.

ἐχθρῶμ ἄδωρα δῶρα κοὐκ ὀνήσιμα.

σόλωνος δὲ ποιήσαντος,

τίκτει τοι κόρος ὕβριν, ὅταμ πολὺς ὄλβος ἕπηται.

θέογνις οὕτω γράφει.

τίκτει τοι κόρος ὕβριν, ὅταμ κακῷ ὄλβος ἕπηται.

ὅθεν καὶ θουκυδίδης φησί,

εἰώθασι δὲ καὶ οἱ πονηροὶ τῶν ἀνθρώπων, οἷς ἂν μάλι
στα καὶ δι᾽ ἐλαχίστου ἀπροσδόκητος εὐπραγία
ἔλθῃ, ἐς ὕβριμ τρέπεσθαι.

καὶ φίλιστος ὁμοίως τὰ αὐτὰ μιμούμενος, λέγει.

εἰώθασι γὰρ μάλιστα οἱ παρὰ δόξαμ ἀπροσδοκή
τως εὖ πράσσοντες ἐς ὕβριμ τρέπεσθαι.

πάλιν τοῦ στασίνου λέγοντος,

νήπιος ὃς πατέρα κτείνων παῖδας καταλείπει.

ξενοφῶν οὕτω φησίμ.

ὁμοίως γάρ μοι νῦν φαίνομαι πεποιηκέναι, ὡς
εἴ τις πατέρα ἀποκτείνας, τῶν παίδων αὐτοῦ
(φείσαιτο.

εὐμήλου δὲ εἰπόντος,

μνημοσύνης καὶ ζηνὸς ὀλυμπίου ἐννέα κοῦραι.

σόλων οὑτωσὶ λέγει.

μνημοσύνης καὶ ζηνὸς ὀλυμπίου ἀγλαὰ τέκνα.

θεόγνιδος δὲ ποιήσαμτος,

οἶνος πινόμενος πολὺς κακόμ. ἢμ δέ τις αὐτῷ
χρῆται ἐπισταμένως, οὐ κακὸμ. ἀλλ᾽ ἀγαθόν.

οὕτω πανύασις γράφει.

ὡς οἶνος θνητοῖσι θεῶμ πάρα δῶρομ ἄριστον.

πινόμενος κατὰ μέτρον. ὑπέρμετρος δὲ, χε
Ἀλκμαίωνος δὲ πάλιν εἰπόντος. (ρείων.
Ἐχθρὸν ἄνδρα ῥᾷον φυλάξασθαι ἢ φίλον.
Ξενοφῶν οὕτως εἴρηκεν.
Οὐκ ἂν ἐχθροὺς ἄλλως βλάψειεν ἄν τις, ἢ φί
λος δοκῶν εἶναι.
Ὁμήρου πάλιν ποιήσαντος,
Τίς πόθεν εἶς ἀνδρῶν. πόθι τοι πόλις ἠδὲ τοκῆες.
Εὐριπίδης οὕτως εἶπε.
Ποίαν σε φῶμεν γαῖαν ἐκλελοιπότα,
πολυξενοῦσθαι. γῆ δὲ τίς πάτρας ὅρος.
Τίς ἔσθ' ὁ φύσας. τοῦ κεκήρυξαι πατρός.
Ἡσιόδου δὲ εἰπόντος,
Ἧς οἱ δ' ἐγὼ ἀντὶ πυρὸς δώσω κακόν, ᾧ κεν ἅπαν
Εὐριπίδης οὕτως ἔφη. (τες τέρπονται.
Ἀντὶ πυρὸς μὲν γὰρ ἄλλο πῦρ μεῖζον,
καὶ δυσμαχώτερον βλάστον γυναῖκες.
Αὖθις Ὁμήρου φήσαντος,
Γαστέρα δ' οὔπως ἐστὶν ἀποπλῆσαι μεμαυῖαν
οὐλομένην. ἢ πολλὰ κάκ' ἀνθρώποισι δίδωσιν.

Εὐριπίδης οὕτω γράφει.

νικᾷ δὲ χρεία κακῶς τε οὐλομένη
γαστήρ. ἀφ' ἧς δὴ πάντα γίνεται κακά.

πάλιν ἀντιμάχου λέξαντος.

ἐκ γὰρ δώρων πολλὰ κάκ' ἀνθρώποισι πέλονται.

Λυσίας οὕτω λέγει.

Δῶρα γὰρ ἀνθρώπων νοῦν ἤπαφεν. ἠδὲ καὶ ἔργα.

τοῦ δὲ ἡσιόδου εἰπόντος.

οὐ μὲμ γάρ τι γυναικὸς ἀνὴρ ληΐζετ' ἄμεινον
τῆς ἀγαθῆς. τῆς δ' αὖτε κακῆς. οὐ ῥίγιον ἄλλο.

σιμωνίδης οὕτως ἔφη.

γυναικὸς δ' οὐδὲμ χρῆμ' ἀνὴρ ληΐζεται
ἐσθλῆς ἄμεινομ. οὐδὲ ῥίγιομ κακῆς.

θεόγνιδος πάλιμ ποιήσαντος.

οὔτι χρήσιμόμ ἐστι νέα γυνὴ ἀνδρὶ γέροντι.
οὐ γὰρ πηδαλίῳ πείθεται ὡς ἄκατος.

ἀριστοφάνης οὕτω λέγει.

Αἰσχρὸμ νέα γυναικὶ πρεσβύτης ἀνήρ.

Ἀνακρέοντος δὲ πάλιν ὧδε γράψαντος.

ἔρωτα γὰρ τὸμ ἁβρὸμ μέλπομαι βρύοντα.

μίξαις πολυανθέμοις ἀείδων. ὁ δέ,
καὶ θεῶν δυνάστης. ὁ δὲ καὶ βροτοὺς δαμάζει.
Εὐριπίδης οὕτω φησίν.
Ἔρως γὰρ ἄνδρας οὐ μόνον ἐπέρχεται.
οὐδ' αὖ γυναῖκας, ἀλλὰ καὶ θεῶν ἄνω
ψυχὰς ταράσσει. κἀπὶ πόντον ἔρχεται.
τοῦ δ' εὐριπίδου πάλιν εἰπόντος.
Ἕλληνες ὄντες βαρβάροις δουλεύσομεν;
Θρασύμαχος οὕτω λέγει.
Ἀρχελάῳ δουλεύσομεν, ἕλληνες ὄντες βαρβά
Ὀρφέως δὲ ποιήσαντος. ρω;
Ἔστιν ὕδωρ ψυχῇ. θάνατος δ' ὑδάτεσσιν ἀμοιβή.
ἐκ δὲ ὕδατος γαῖα. τὸ δ' ἐκ γαίης πάλιν ὕδωρ.
ἐκ τοῦ δὴ ψυχὴ ὅλον αἰθέρα ἀλλάσσουσα.
Ἡράκλειτος οὕτως ἔλεξε.
Ψυχῇσι θάνατος ὕδωρ γενέσθαι. ὕδατι δὲ θά
νατος γῆν γενέσθαι. ἐκ γῆς δὲ ὕδωρ γίγνεται.
ἐξ ὕδατος δὲ ψυχή.
Ἀθάμαντος δὲ τοῦ πυθαγορείου λέγοντος,
ὧν δ' ἐγεννᾶτο παντὸς ἀρχά. καὶ ῥιζώματα τέττα

ρα τυγχάνοντι. πῦρ. ὕδωρ. ἀὴρ. γῆ. ἐκ τούτων γὰρ αἱ γενέσεις τῶν γινομένων.

Ἐμπεδοκλῆς ἔλεξεν οὕτω.

τέσσαρα τῶν πάντων ῥιζώματα πρῶτον ἄκουε.
πῦρ καὶ ὕδωρ γαῖαν, ἠδ' αἰθέρος ἄπλετον ὕψος.
ἐκ γὰρ τῶν, ὅσα ἦν. ὅσα τ' ἔσται. ὅσα τ' ἔασι.

Πλάτωνος δ' αὖ οὕτωσὶ γράψαντος,

διὰ τοῦτο καὶ θεοὶ τῶν ἀνθρώπων ἐπιστήμονες. οὓς ἂν διαπλείστου ποιῶνται, θᾶττον ἀπαλλάττουσι τοῦ ζῆν.

Μένανδρος εἶπεν οὕτως.

ὃν οἱ θεοὶ φιλοῦσιν, ἀποθνήσκει νέος.

Τοῦ δὲ Ἰσοκράτους εἰπόντος,

ἀεὶ τὰ μέλλοντα τοῖς προγεγενημένοις τεκμαίρεσθαι,

Ἀνδοκίδης οὕτως ἔφη.

χρὴ γὰρ τεκμηρίοις χρῆσθαι τοῖς πρότερον γενομένοις, περὶ τῶν μελλόντων ἔσεσθαι.

Θεόγνιδος δὲ πάλιν ποιήσαντος.

χρυσοῦ κιβδήλοιο καὶ ἀργύρου ἄσχετος ἄτη κύρνε, καὶ ἐξευρεῖν ῥάδιον ἀνδρὶ σοφῷ.

εἰ δὲ φίλου νόος ἀνδρὸς ἐνὶ στήθεσσι λελήθῃ
ψυχρὸς ἐών, δόλιον δ' ἐν φρεσὶν ἦτορ ἔχει,
τοῦτο θεὸς κιβδηλότατον ποίησε βροτοῖσιν.
καὶ γνῶναι πάντων τοῦτ' ἀνιηρότατον.

εὐριπίδης οὕτω λέγει.

ὦ ζεῦ. τί δῆτα χρυσοῦ μὲν ὃς κίβδηλος ἦν,
τεκμήρι' ἀνθρώποισιν ὤπασας σαφῆ.
ἀνδρῶν δ' ὅτῳ χρὴ τῶν κακῶν διειδέναι,
οὐδεὶς χαρακτὴρ ἐμπέφυκε σώματι.

πάλιν εὐριπίδου γράψαντος.

μητρὸς τ' ἐν ἄλλου ἢ πατρὸς τετυχότων,
οὐκ ἔστ' ἀδελφὸς ὅστις ἂν βλαστῇ ποτέ.

σοφοκλῆς οὕτω φησί.

μητρὸς ἢ πατρὸς οὐκέτ' ὄντων, ἀδελφὸν ἄλλον οὐχ
ἕξω.

πάλιν εἰπόντος εὐριπίδου.

πηλέα τὸν αἰάκειον οἰκουρὸς μόνη,
γεροντα γηρωκῶ κἀναπαιδεύω.

πάλιν γὰρ αὖθις παῖς ὁ γηράσκων ἀνήρ.

σοφοκλῆς οὕτω λέγει.

δὶς παῖδες οἱ γέροντες ὀρθῷ τῷ λόγῳ.

καὶ πλάτων οὕτως.

Ἆρ' ὡς ἔοικεν ὁ γέρων δὶς παῖς γένοιτ' ἄν.

ὡσαύτως καὶ ἀντιφῶν.

γηροβοσκία γὰρ προσέοικε παιδοτροφία.

τοῦ δὲ δημοσθένους λέγοντος.

ὅση μὲν ὦ ἄνδρες ἀθηναῖοι σπουδὴ περὶ τουτονὶ τὸν ἀγῶνα καὶ παραγγελία γέγονε, σχεδὸν οἶμαι πάντας ᾐσθῆσθαι.

φιλῖνος φησὶν οὕτως.

ὅση μὲν ὦ ἄνδρες δικασταὶ σπουδὴ καὶ παράταξις γεγένηται περὶ τὸν ἀγῶνα τουτονί, οὐθένα ὑμῶν ἀγνοεῖν ἡγοῦμαι.

πάλιν τοῦ ἰσοκράτους γράψαντος.

ὥσπερ τῶν χρημάτων, ἀλλ' οὐκ ἐκείνου συγγενὴς οὖσα.

λυσίας ἐν τοῖς ὀρφικοῖς οὕτως εἶπε.

καὶ φανερὸς γέγονεν οὐ τῶν σωμάτων συγγενὴς ὤν, ἀλλὰ τῶν χρημάτων.

ὁμήρου πάλιν εἰπόντος.

ὦ πέπον, εἰ μὲν γὰρ πόλεμον περὶ τόνδε φυγόντε
αἰεὶ δὴ μέλλοιμεν ἀγήρω τ' ἀθανάτω τε ἐόντες.

ἔσθλ', οὔτε κεν αὐτὸς ἐνὶ πρώτοισι μαχοίμην,
οὔτε κέ σε στέλλοιμι μάχην ἐς κυδιάνειραν.
νῦν δ' ἔμπης γὰρ κῆρες ἐφέστασαν θανάτοιο
μυρίαι, ἃς οὐκ ἔστι φυγεῖμ βροτὸμ οὐδ' ὑπαλύξαι,
ἴομεμ, ἠ καὶ τῳ εὖχος ὀρέξομεμ ἠέ τις ἡμῖν.

θεόπομπος οὕτως ἔφη.

εἰ μὲν γὰρ ἦν τὸμ κίνδυνον τὸν παρόντα διαφυγόντας ἀδεῶς διάγειν τὸν ἐπίλοιπον χρόνον, οὐκ ἂμ ἦμ θαυμαστὸμ φιλοψυχεῖν· νῦμ δὲ τοσαῦται κῆρες τῷ βίῳ παραπεφύκασιν, ὥστε τὸν ἐμ ταῖς μάχαις θάνατον αἱρετώτερομ εἶναι δοκεῖν.

τοῦ δὲ χίλωνος εἰπόντος,

ἐγγύη πάρα δ' ἄτα,

ἐπίχαρμος οὕτως ἔφη.

ἐγγύα ἄτας θυγάτηρ· ἐγγύα δὲ ζαμίας.

ἱπποκράτους δὲ φάντος,

ἐπιβλέπειν οὖμ δεῖ καὶ ὥρημ. καὶ χώρημ. καὶ ἡλικίην. καὶ νόσους,

εὐριπίδης οὕτω γράφει.

ὅσοι δ' ἰατρεύειν καλῶς, πρὸς τὰς διαίτας
τῶμ ἐνοικούντων πόλιν τε γῆν ἰδόντας,
νόσους σκοπεῖν χρεώμ.

ὁμήρου πάλιν ποιήσαντος.

μοῖραμ δ' οὔ τινα φημὶ πεφυγμένομ ἔμμεναι
(ἀνδρῶν,

ἀρχίλοχος οὕτω λέγει.

πᾶσι μὲν ἀμθρώποις ὀφείλεται ἀποθανεῖμ. ἢ
πρότερον, ἢ ἐς ὕστερον.

τοῦ δὲ δημοσθένους ὡσαύτως εἰπόντος,

πέρας μὲμ πᾶσιμ ἀμθρώποις τοῦ βίου πέφυ
κε θάνατος, κἂν ἐν οἰκίσκῳ τὶς αὐτὸμ κα
θείρξας τηρῇ.

φανοκλῆς οὕτω φησίν.

ἀλλά τοι μοιράωμ νῆμ' ἄλυτον. οὐδέπω ἐστὶν
ἐκφυγεῖμ, ὅσσοι γῆμ ἐπιφερβόμεθα.

πλάτωνος δὲ γράψαμτος,

ἀρχὴ μὲμ ἔρωτος ὅρασις. μᾶλλον δὲ τὸ πάθος ἐλ
πίς. τρέφει δὲ μνήμη. τηρεῖ δὲ συνήθεια.

φιλήμωμ οὕτως ἔφη.

ὁρῶσι πάντες πρῶτον. εἶτ' ἐθαύμασαμ.

εἶτ᾽ ἐπεθεώρησαν. εἶτ᾽ ἐς ἐλπίδα ἐνέπεσον
οὕτω γίνεται ἐκ τούτωμ ἔρως.

ἐμπεδοκλέους δ᾽ εἰπόντος,

ἤδη γάρ ποτ᾽ ἐγὼ γενόμην κοῦρός τε κόρη τε.
θάμνος τ᾽ οἰωνός τε καὶ εἰμ ἁλὶ ἔλλοπος ἰχθύς.

εὐριπίδης οὕτω λέγει.

θνήσκει δ᾽ οὐδὲν τῶν γιγνομένων.
διακρινόμενον ἄλλο πρὸς ἄλλο,
μορφὴν ἑτέραν ἀπέδειξεν.

αὐτοῦ δὲ πάλιν φήσαντος,

ἔπειτα γ᾽ ἀρκοῦν τὰ ἱκανὰ τοῖς σώφροσιμ,

ἐπίκουρος οὕτως εἶπε.

πλουσιώτατον αὐτάρκεια πάμτωμ.

τοῦ δ᾽ ἀριστοφάνους εἰπόντος.

βέβαιον ἕξεις τὸν βίον δίκαιος ὤμ.
χωρίς τε θορύβου καὶ φόβου ζήσεις καλῶς.

ἐπίκουρος οὕτωσι λέγει.

δικαιοσύνης καρπὸς μέγιστος ἀταραξία.

εὐριπίδου πάλιμ ποιήσαντος.

οὐκ ἔστιμ ὅρος κείμενος οὐδεὶς.

εἰς ὅν τινα χρὴ τελέσαι θνητοῖς.
πλὴν ὅταν ἔλθῃ κρυερὰ διόθεν
θανάτου πεμφθεῖσα τελευτά.

δίφιλος οὕτω πως μεταφράζει.

οὐκ ἔστι βίος ὃς οὐ κέκτηται κακά.
λύπας. μερίμνας. ἁρπαγάς. στρέβλας. νόσους.
τούτων ὁ θάνατος καθάπερ ἰατρὸς φανεὶς
ἀνέπαυσε τοὺς ἔχοντας ἀναπαύσας ὕπνῳ.

εὐριπίδου δ' αὖθις ἐπόντος,

χρόνος δὲ δείξει. ᾧ τεκμηρίῳ μαθὼν,
ἢ χρηστὸν ὄντα γνώσομαί σε ἢ κακόν,

σοφοκλῆς οὕτω φησί.

πρὸς ταῦτα κρύπτε μηδέν. ὡς ὁ πάνθ' ὁρῶν.
καὶ πάντ' ἀκούων, πάντ' ἀναπτύσσει χρόνος.

ὄντων καὶ ἄλλων πλείστων. ἃ παρὰ ποιηταῖς τε
καὶ λογογράφοις εὑρήσεις εἰ προσέξεις τὸν νοῦν.
ἀρκεῖ καὶ ταῦτα πρὸς τὴν τῆς ἀλλήλων συλα
γωγίας. ἢ εἰ βούλει, μεταφράσεως ἔνδειξιν.

## ΣΙΜΩΝΙΔΟΥ ἩΡΩΕΛΕΓΕΙ͂Α. ΠΕΡῚ ΜΑΤΑΙΟΤΗΤΟΣ ΤΟΥ͂ ΒΙΟΥ.

ἓν δὲ τὸ κάλλιστομ Χῖος ἔειπεν ἀνήρ.
οἵη περ φύλλων γενεὴ, τοίη δὲ καὶ ἀμδρῶμ.
παῦροί μιμ θνητῶν οὔασι δεξάμενοι,
στέρνοις ἐγκατέθεντο. πάρεστι γὰρ ἐσὶμ ἑκάστῳ
ἀμδρῶμ, ἥ τε νέωμ στήθεσιν ἐμφύεται.
θνητῶμ δ' ὄφρα τις ἄνθος ἔχει πολυήρατομ ἥβης,
κοῦφον ἔχωμ θυμὸν, πόλλ' ἀτέλεστα νοεῖ.
οὔτε γὰρ ἐλπίδ' ἔχει γηρασέμεμ, οὐδὲ θανεῖσθαι.
οὐδ' ὑγιὴς ὅταν ᾖ, φρομτίδ' ἔχει καμάτου.
νηπίοις ταύτῃ κεῖται νόος. οὐδὲ ἴσασιν,
ὡς χρόνος ἔσθ' ἥβης καὶ βιότου ὀλίγος
θνητοῖς. ἀλλὰ σὺ ταῦτα μαθὼν βιότου περὶ τέρμα
ψυχῇ τῶν ἀγαθῶν, τλῆθι χαριζόμενος.

Φιλήμονος εἰς τὸ αὐτό.

ὮΩ τρισμακάρια πάντα καὶ τρισόλβια
τὰ θηρία. οὐκ ἔστι περὶ τούτων λόγος.

οὔτ' εἰς ἔλεγχον αὐτῶν οὐδὲν ἔρχεται.
οὔτ' ἄλλο τοιοῦτ' οὐδέ μ' ἐστὶν αὐτοῖς κακὸν
ἐπακτόν. ἣν δ' ἂν ἐγγένηται φύσιν,
ἕκαστον εὐθὺς καὶ μόνον ταύτην ἔχει.
ἡμεῖς δ' ἀβίωτον ζῶμεν ἄνθρωποι βίον.
δουλεύομεν δόξαις εὑρόντες νόμους
προγόνοισιν. οὐκ ἔστ' ἀποτυχεῖν κακοῦ.
πρόφασιν δ' ἀεί τιν' ἐξευρίσκομεν.

τοῦ αὐτοῦ.

Νὴ δία τὸν μέγιστον ᾤμην σωσία
ἐγὼ πρότερον, τοὺς πένητας ζῆν μόνον
ὀδυνωμένους. τῶν πλουσίων δὲ τὸν βίον
ἱλαρὸν εἶναι, καὶ φέρειν εὐθυμίαν.
νῦν δὲ διαφέροντα τοῖς καθ' ἡμέραν
δαπανήμασι δὴ τὸν βίον ὁρῶ μόνον.
λύπας δ' ἔχοντας μείζονας, τοὺς μείζονας.

τοῦ αὐτοῦ.

Οὐκ ἂν δύναιο μὴ γενέσθαι δέσποτα
ἄνθρωπος ὤν, ἄνθρωπος. ἄλλως οὖν βοᾷς.
τὸν ζῶντ' ἀνάγκη πόλλ' ἔχειν ἐστὶ κακά.

Μενάνδρου εἰς τὸ αὐτό.

Εἴ τις προσελθών μοι θεῶν λέγει κράτων
ἐπὰν ἀποθάνῃς, αὖθις ἐξ ἀρχῆς ἔσῃ.
ἔσῃ δ' ὅ,τι ἂν βούλῃ. κύων. πρόβατον. τράγος.
ἄνθρωπος. ἵππος. διαβιῶναι γάρ σε δεῖ,
εἱμαρμένον τοῦτ' ἐστὶν, ὅ,τι βούλει δὲ ἑλοῦ.
ἅπαντα μᾶλλον εὐθὺς εἰπεῖν ἂν δοκῶ
ποίει με, πλὴν ἄνθρωπον. ἀδίκως εὐτυχεῖ.
κακῶς τε πράττει τοῦτο τὸ ζῶον μόνον.
ὁ κράτιστος ἵππος ἐπιμελεστέραν ἔχει
ἑτέρου θεραπείαν. ἀγαθὸς ἂν γένῃ κύων,
ἐντιμότερος εἶ τοῦ κακοῦ κυνὸς πολύ.
ἀλεκτρυὼν γενναῖος ἐν ἑτέρᾳ τροφῇ
ἐστίν. ὁ δ' ἀγεννὴς καὶ δέδιε τὸν κρείττονα.
ἄνθρωπος ἐὰν ᾖ χρηστός. εὐγενής. σφόδρα
γενναῖος, οὐδὲν ὄφελος ἐν τῷ νῦν γένει.
πράττει δ' ὁ κόλαξ ἄριστα πάντων. δεύτερα
ὁ συκοφάντης. ὁ κακοήθης τρίτα λέγει.
ὄνον γενέσθαι κρεῖττον, ἢ τοὺς χείρονας
ὁρᾶν ἑαυτοῦ ζῶντας ἐπιφανεστέρους.

τοῦ αὐτοῦ.

ὅστις πένης ὢν, ζῆμ ἐν ἄστει βούλεται,
ἀθυμότερον αὑτὸμ ἐπιθυμεῖ ποιεῖν.
ὅταν γὰρ εἰς τρυφῶντα καὶ σχολὴν ἄγειν
δυνάμενομ ἐμβλέψῃ. τότ' αὐτὸν ἔσ' ἰδεῖμ
ὡς ἄθλιον ζῆμ καὶ ταλαίπωρον βίομ.
κακῶς ὁ δεσπότης βεβούλευταί μοι.
ἐν ἀγρῷ γὰρ οἰκῶμ, οὐ σφόδρ' ἐξήλεγχετο,
τῆς μερίδος ὢν τῆς οὐδαμοῦ τεταγμένης.
εἶχε δὲ παραπέτασμα τὴν ἐρημίαμ.

τοῦ αὐτοῦ.

Ἅπαντα τὰ ζῶ' ἐστὶ μακαριώτατα.
καὶ νοῦμ ἔχοντα μᾶλλομ ἀμθρώπου πολύ.
τὸμ ὄνομ ὁρᾶν ἔξεστι πρῶτα τουτονί.
οὗτος κακοδαίμων ἐστὶν ὁμολογουμένως.
τούτῳ κακὸμ δι' αὑτὸμ, οὐδὲν γίγνεται.
ἃ δ' ἡ φύσις δέδωκε, ταῦτ' ἔχει.
ἡμεῖς δὲ χωρὶς τῶν ἀμαγκαίωμ κακῶμ,
αὐτοὶ παρ' αὑτῶν ἕτερα προσπορίζομεμ.
λυπούμεθ' ἂμ πτάρῃ τις, ἂν εἴπῃ κακῶς

ὀργιζόμεσθ᾽. ἂν ἴδῃ τις ἐνύπνιον,
σφόδρα φοβούμεθ᾽. ἂν γλαὺξ ἀνακράγῃ δεδοί
ἀγωνίαι. δόξαι. φιλοτιμίαι. νόμοι. (καμεν.
ἅπαντα ταῦτ᾽ ἐπίθετα τῇ φύσει κακά.

μιμνέρμου ἡρωελεγεία. ἐς τὸ αὐτό.

ἡμεῖς δ᾽ οἷά τε φύλλα φύει πολυάνθεμος ὥρη.
ἔαρος ὅτ᾽ αἶψ᾽ αὐγῇ αὔξεται ἠελίου,
τοῖς ἴκελοι πήχυιον ἐπὶ χρόνον ἄνθεσιν ἥβης
τερπόμεθα. πρὸς θεῶν εἰδότες οὔτε κακὸν
οὔτ᾽ ἀγαθόν. κῆρες δὲ παρεστήκασι μέλαιναι.
ἡ μὲν ἔχουσα τέλος γήραος ἀργαλέου.
ἡ δ᾽ ἑτέρη θανάτοιο. μίνυνθα δὲ γίνεται ἥβης
καρπὸς, ὅσον τ᾽ ἐπὶ γῆν κίδναται ἠέλιος.
αὐτὰρ ἐπὴν δὴ τοῦτο τέλος παραμείψεται ὥ
αὐτίκα δὴ τεθνάναι βέλτιον ἢ βίοτος. (ρης.
πολλὰ γὰρ ἐν θυμῷ γίνεται. ἄλλοτε τοῖκος
τρυχοῦται. πενίης δ᾽ ἔργ᾽ ὀδυνηρὰ πέλει.
ἄλλος δ᾽ αὖ παίδων ἐπιδεύεται. ὧν τε μάλιστα
ἱμείρων, κατὰ γῆς ἔρχεται εἰς ἀΐδην.
ἄλλος νοῦσον ἔχει θυμοφθόρον. οὐδέ τίς ἐστιν

ἀνθρώπων, ᾧ ζεὺς μὴ κακὰ πολλὰ διδῷ.

τοῦ αὐτοῦ.

Ἀλλ' ὀλιγοχρόνιον γίνεται ὥσπερ ὄναρ
ἥβη τιμήεσσα. τὸ δ' ἀργαλέον καὶ ἄμορφον
γῆρας ὑπὲρ κεφαλῆς αὐτίχ' ὑπερκρέμαται.
ἐχθρὸν ὁμῶς καὶ ἄτιμον. ὅτ' ἄγνωστον τίθει ἄν
βλάπτει δ' ὀφθαλμοὺς καὶ νόον ἀμφιχυθέν. (δρα

τιμοκλέους ἐς τὸ αὐτό.

Ὦ τᾶν, ἄκουσον ἤν τι σοι δοκῶ λέγειν.
ἄνθρωπός ἐστι ζῶον ἐπίπονον φύσει.
καὶ πολλὰ λυπηρὰ ὁ βίος ἐν ἑαυτῷ φέρει.
παραψυχὰς οὖν φροντίδων ἀνεύρατο
ταύτας. ὁ γὰρ νοῦς τῶν ἰδίων λήθην λαβὼν,
πρὸς ἀλλοτρίῳ τε ψυχαγωγηθεὶς πάθει,
μεθ' ἡδονῆς ἀπῆλθε παιδευθεὶς ἅμα.
τοὺς γὰρ τραγῳδοὺς πρῶτον εἰ βούλει σκόπει,
ὡς ὠφελοῦσι πάντας. ὁ μὲν γὰρ πένης,
πτωχότερον αὐτοῦ καταμαθὼν τὸν τήλεφον
γενόμενον, οὕτω τὴν πενίαν ῥᾷον φέρει.
ὁ νοσῶν τι μανικὸν, ἀλκμέωνα ἐσκέψατο.

ὀφθαλμιᾷ τις, εἰς Φινέ᾽ ἴδε τυφλόν.
τέθνηκέ τῳ παῖς, ἡ Νιόβη κεκούφικε.
χωλός τίς ἐστι, τὸν Φιλοκτήτην ὁρᾷ.
γέρων τις ἀτυχεῖ, κατέμαθε τὸν Οἰνέα.
ἅπαντα γὰρ τὰ μείζονα ἢ πέπονθέ τις
ἀτυχήματ᾽ ἄλλοις γεγονότ᾽ ἐννοούμενος,
τὰς αὐτὸς αὑτοῦ συμφορὰς ἧττον στένει.

Διφίλου.

ἀπροσδόκητον οὐδὲν ἀνθρώποις πάθους.
ἐφημέρους γὰρ τὰς τύχας κεκτήμεθα.

Τοῦ αὐτοῦ.

ἄνθρωπός εἰμι. τοῦτο δ᾽ αὐτὸ τῷ βίῳ,
πρόφασιν μεγίστην εἰς τὸ λυπεῖσθαι φέρει.

Φιλήτου.

ἦ μὲν δὴ πολέεσι πεφύρησαι χαλεποῖσι
θυμέ. γαληναίη δ᾽ ἐπιμίσγεαι οὐδ᾽ ὅσον ὅσσον.
ἀμφὶ δέ τοι νέαι αἰὲν ἀνίαι τετύχασι.

Πομπηΐου Μακροῦ.

Δεῦτ᾽ ὦ τέκνον ὦ στερχθένθ᾽ ὅσον πλεῖστον θέμις.
ὦ ᾽λλὰ στέρξαντ᾽ οὐδὲ λυπήσαντά τι.

μητέρα τί προσλάζυσθε κἀξάρτεσθέ μου.
βούλεσθ' ἀθύρειν, παίζετ' ὦ νέαι φρένες.
ὡς ἐστὶν ὑμῖν τοῦτ' ἔαρ παντὸς βίου.

εὔφρονος.

Ὦ ζεῦ, τί ποθ' ἡμῖν δοὺς χρόνον τοῦ ζῆν βραχὺν
πλέκειν ἀλύπως τοῦτον ἡμᾶς οὐκ ἐᾷς.

εὐριπίδου.

εἰ δ' ἄτερ πόνων δοκεῖς ἔσεσθαι,
μῶρος εἶ, θνητὸς γεγώς. τοῦ αὐτοῦ.

Ἀλλ' ἡμέρα τοι πολλὰ. καὶ μέλαινα νὺξ,
τίκτει βροτοῖσι. τοῦ αὐτοῦ.

Οὐ χρή ποτ' ὀρθαῖς ταῖς τύχαις βεβηκότα,
ἕξειν τὸν αὐτὸν δαίμον' ἀεὶ δοκεῖν.
ὁ γὰρ θεός πως, εἰ θεὸν σφε χρὴ καλεῖν,
κάμνει ξυνὼν τὰ πολλὰ τοῖς αὐτοῖς ἀεί.
θνητῶν δὲ θνητὸς ὄλβος. οἱ δ' ὑπέρφρονες
καὶ τῷ παρόντι, τοὐπιὸν πιστούμενοι.

τοῦ αὐτοῦ.

Πολλάς γε ὁ δαίμων τοῦ βίου μεταστάσεις
ἔδωκεν ἡμῖν μεταβολάς τε τῆς τύχης.

Ἡσιόδου.

Πλείη μὲν γαῖα κακῶν, πλείη δὲ θάλασσα.
νοῦσοι δ' ἀνθρώποις ἐφ' ἡμέρῃ, αἱ δ' ἐπὶ νυκτὶ
αὐτόματοι φοιτῶσι, κακὰ θνητοῖσι φέρουσαι.

Ἀπολλοδώρου.

Ἀπραγμόνως ζῆν ἡδύ, μακάριος βίος
καὶ σεμνός, ἂν ᾖ μετὰ ἑτέρων ἀπραγμόνων.
ἐν θηρίοις δὲ καὶ πιθήκοις ὄντα, δεῖ
εἶναι πίθηκον. ὢ ταλαιπώρου βίου. Θεόγνιδος.

Ὤμοι ἐγὼν ἥβης καὶ γήραος οὐλομένοιο.
τοῦ μὲν ἐπερχομένου, τῆς δ' ἀπονισσομένης.

πολιτικοί.

Ἀλλ' ἦμ οὐδὲμ ὡς ἔοικεν εὐτύχημα τοῦ βίου
ζάλης καὶ λύπης ἀμιγές. οὐδὲ τὶς εὐπρατμία.
μὴ συναναφυόμενον ἔχουσα καὶ τὸ κνίζον.
καὶ γὰρ καὶ ῥόδομ εὔοσμον φρίσσει πικρὰς ἀκάν
ἠλίου τε τὸ βλέφαρομ σκοτίζουσι νεφέλαι. (θας.
καὶ φθόνος ἐπιφύεται τοῖς τὸ καλὸν ἀσκοῦσι.
καὶ πᾶμ εὐτύχημα λαμπρόμ. πᾶν τὸ σεμνὸν τοῦ
φέρει καὶ τὸ δυστύχημα συνανακεκραμένον. (βίου

## ΣΩΤΑΔΟΥ· ὍΤΙ Ὁ ΒΊΟΣ ΠΟΛΛΩ͂Ν ΦΡΟΝΤΊΔΩΝ ἈΝΆΜΕΣΤΟΣ.

ντὸς γὰρ θεῶν. παντοσεμνὴς ὁ πάντα γιν-
ἀ νώσκων, οὐ κρίνει δικαίως τὰ κατὰ ἄνθρωπον ἕκαστον. καὶ γὰρ κατὰ γαῖαν τὰ κακὰ πέφυκεν ἀεί. καὶ τοῖς μεγάλοις κακοῖς γέγηθε ὁ κόσμος. ὅτι πάντες ὅσοι περιττὸν ἠθέλησαμ εὑρεῖν, ἢ μηχανικὸν ποίημα, ἢ σοφὸν μάθημα, οὗτοι κακὸν εἰς τὸν θάνατομ τέλος ἐποίησαν. ὑπὸ τοῦ γεννήτορος κόσμου κακῶς παθόντες. σωκράτην ὁ κόσμος πεποίηκε σοφὸμ εἶναι. καὶ κακῶς ἀνεῖλε τὸμ σωκράτημ ὁ κόσμος. ἐμ τῇ φυλακῇ κώνειομ ὅτι πιὼμ, τέθνηκε. πολύπλα φαγὼν ὁ διογένης ὠμὸν, τέθνηκεμ. αἰσχύλῳ γράφοντι, ἐπιπέπτωκε χελώνη. σοφοκλῆς ῥᾶγα φαγὼν σταφυλῆς, πνιγεὶς τέθνηκε. κύνες οἱ κατὰ θρᾴκην εὐριπίδην ἔφαγον. τὸμ θεῖον ὅμηρομ λιμὸς κατεδαπάνησεν.

## Τέλητος ἐκ τοῦ περὶ βίου.

Εἰ δὲ δεῖ τὸν εὐδαίμονα βίον ἐκ τῶν πλεοναζουσῶν ἡδονῶν συγκρῖναι, οὐδεὶς φησὶν ὁ Κράτης εὐδαίμων γεγονὼς ἂν εἴη. ἀλλὰ βέλτιστ' ἐκλογίσασθαι ἐν ὅλῳ τῷ βίῳ πάσας τὰς ἡλικίας, εὑρήσει πολλῷ πλείους τὰς ἀλγηδόνας. πρῶτον μὲν γὰρ τοῦ παντὸς χρόνου τὸ ἥμισυ ἀδιάφορος ἐν ᾧ καθεύδω. εἶθ' ὁ πρῶτος ὁ κατὰ τὴν παιδοποιίαν ἐπίπονος. πεινᾷ τὸ παιδίον, ἡ δὲ τροφὸς κατακοιμίζει. διψᾷ, ἡ δὲ λούει. κοιμηθῆναι θέλει, ἡ δὲ κρόταλον ἔχουσα ψοφεῖ. εἰ δ' ἐκπέφευγε τὴν τιθήνην, παρέλαβε πάλιν ὁ παιδαγωγός. παιδοτρίβης. γραμματοδιδάσκαλος. ἁρμονικός. ζωγράφος. προάγει ἡ ἡλικία, προσγίνεται ἀριθμητικός. γεωμέτρης. πωλοδάμνης. ὑπὸ τούτων πάντων μαστιγοῦται. ὄρθρου ἐγείρεται. σχολάσαι οὐκ ἔστιν. ἔφηβος γέγονεν. ἔτι πάλιν τὸν κοσμητὴν φοβεῖται. τὸν παιδοτρίβην. τὸν ὁπλομάχον. τὸν γυμνασίαρχον. ὑπὸ πάντων

τούτων μαστιγοῦται. παρατηρεῖται. τραχη
λίζεται. ἐξ ἐφήβων ἐστὶ. καὶ ἤδη εἴκοσι ἐτῶν,
ἔτι φοβεῖται. καὶ παρατηρεῖ καὶ γυμνασίαρ
χον. καὶ στρατηγὸν παρακοιτεῖν ὅπου δεῖ. οὗ
τοι παρακοιτοῦσι, φυλάττειν καὶ ἀγρυπνεῖν.
οὗτοι φυλάττουσιν εἰς τὰ πλοῖα ἐμβαίνειν.
οὗτοι ἐμβαίνουσιν. ἀνὴρ γέγονε καὶ ἀκμάζει.
στρατεύεται. καὶ πρεσβεύει ὑπὲρ τῆς πόλε
ως. πολιτεύεται. στρατηγεῖ. χορηγεῖ. ἀγωνο
θετεῖ. μακαρίζει ἐκεῖνον τὸν βίον, ὃν, παῖς
ὢν ἐβίωσε. παρήκμασε καὶ ἔρχεται εἰς γῆ
ρας, πάλιν παιδοτροφίαν ὑπομένει. καὶ ἐπι
ποθεῖ τὴν νεότητα. καὶ ἡ νεότης μοι φίλον.

τὸ δὲ γῆρας, βαρύτερον Αἴτνης.

οὐχ ὁρῶ οὖν πῶς εὐδαίμονα
τὶς βίον ἔσται βεβιωκώς.
εἴπερ δεῖ τῷ πλεο
νασμῷ τῶν ἡδο
νῶν ἐκμε
τρῆσαι.

## ΕΙΣ ΤΟΝ ΒΙΟΝ, ΕΙΚΟΝΙΣΜΕΝΟΝ.

ὁ με τὸν βίον ἄνθρωπε δέξαι σὺ παραι-
μέτην ἔτυχες. εὗρες. ἔλαβες. κατέ-
σχες μου τὰς ῥίζας, μὴ πρὸς ῥαστώνην
ἐκλαθῇς, μὴ πρὸς τρυφὴν χωρήσῃς. μὴ δὲ φρο-
νήσῃς ὑψηλά, εἰ καὶ πέρα τοῦ μετρίου. Γυμνόν με
βλέπεις μόντομ. Γυμνόν μου καὶ τὸ τέλος. ὑπὸ
τοὺς πόδας μου τροχοί, βλέπε μὴ κυλισθῶσι.
περὶ τὰς κνήμας μου πτερά, φεύγω παρίπτα-
μαίτου. ξυρὰ κατέχω τῇ χειρί, φοβοῦ
τὰς μετακλίσεις. τί με κρατεῖς.
σκιὰν κρατεῖς. πνοὴν κρατεῖς
ἀνέμου. τί με κρατεῖς.
καπνὸν κρατεῖς. ὄ-
νειρον. ἴχνος
πλοίου.

## ΤΟΥ ΣΟΦΩΤΑΤΟΥ ΨΕΛΛΟΥ ΙΑΜΒΟΙ, ΕΙΣ ΑΡΕΤΑΣ ΚΑΙ ΚΑΚΙΑΣ.

### Η ΑΓΑΠΗ.

ἔγωγε πηγὴ καὶ περιῤῥέω κύκλῳ.
τὰς γὰρ ἁπάσας ἀρετὰς σφίγγω κύκλῳ.

### Τὸ μῖσος.

μηνιθμόν. ὀργήν. συμπλοκὴν δόλου. φθόνομ.
καὶ χαλεπὸμ πᾶν συλλαβὸμ φέρω πάθος.

### Ἡ ἐξουσία.

ὑπηρετεῖ μου τῷ κράτει χοῦς ἐν βίῳ.
καὶ κυριεύω τοῦ λόγου ἄτερ λόγου.

### Ἡ φρόνησις.

ξυμβάλλομαι μὲμ ἐκ μακρᾶς ἐμπειρίας.
τίθω δὲ σεπτοὺς τοὺς ἐμὲ κεκτημένους.

### Ἡ ἀφροσύνη.

ἔοικα τυφλοῖς. ἢ διύγροις ἐμβρύοις,
ἐκ σπαργάνωμ στέρξασα τὴμ ἀγνωσίαν.

### Δικαιοσύνη.

ἐγὼ συνιστῶ τῷ ζυγῷ μου τὰς πόλεις.
καὶ πύργος αὐταῖς χρηματίζω καὶ τάφρος.

ἡ ἀδικία.

ἀρχὴ μάχης ἔγωγε καὶ μήτηρ φόνου.
καὶ τεῖχος εὐρὺ τῷ ψεύδει καταστρέφω.

ἡ ἀνδρεία.

ἐγὼ διδάσκω τοὺς ἀρηϊμανίους.
πότε. πρὸς οὕς. πῶς. καὶ δι' οὓς μαχητέον.

ἡ δειλία.

στερῶ στεφάνων. καὶ σκύλων. καὶ λαφύρων.
ὅσοι μένειν στέργουσιν ἐντὸς οἰκίσκων.

ἡ σωφροσύνη.

τὸν σώφρονα ζῆν ἠρετισάμην βίον.
φεύγουσα τὴν ἄθεσμον ἀκολασίαν

ἡ ἀκολασία.

αἰσχρῶν γυναικῶν συμπλοκαί. μέθη. κάρος.
ἐμοὶ προσεκρίθησαν ἐκβρεφουργίας.

ἡ ἀλήθεια.

φῶς χρηματίζω. καὶ λύχνος τοῖς χρωμένοις.
πρώτη πέλουσα τῶν θεοῦ θυγατέρων.

τὸ ψεῦδος.

ὑπόστασιν σχεῖν ἀδυνατῶν ἰδίαν.

Καὶ τὴν ἐμὴν ὑπόστατον κτῶ πολλάκις.

ἡ ἐλπίς.

τὰ νεῦρ᾽ ἐνορθῶ τὰ παραλελυμένα.
καὶ τοὺς ῥαθύμους ἐξεγείρω πρὸς πόνους.

ἡ ἀνελπιστία.

ἔκλεισα πολλοῖς τὰς παραδείσου πύλας.
ὅσοι ῥάθυμοι ἀφελῶς εἷλόν τό με.

ἡ προσευχή.

ἐγὼ μόνη δίδωμι τοῖς στέργουσί με,
τῷ δημιουργῷ προσλαλεῖν κατὰ μόνας.

ἡ ῥαθυμία.

οὔπω ποτὲ τρόπαιον ἀνεστησάμην.
ἀεὶ γὰρ ὑπνῶ, καὶ φιλῶ χάσμην μόνην.

ἡ ταπεινοφροσύνη.

εἰς οἷον ὕψος τοὺς ἐμοὺς ἄγω φίλους.
τρανῶς τελώνης μαρτυρεῖ μου τὸ κράτος.

ἡ ὑψηλοφροσύνη.

ἀεὶ κατασπῶ, καὶ κάτω ποιῶ ῥέπειν.
καὶ μαρτυρεῖ νοῦς ὁ σκότος χρηματίσας.

ἡ ἐλεημοσύνη.

Ὁ σχὼν με πιστὴν τῷ βίῳ τούτῳ φίλην,
ἑαυτὸν ἰσοῖ τῷ θεοῦ θείῳ λόγῳ.

Ἡ ὠμότης.

Ὅσον κακῶν αἴτιος ὁ σκιφὸς βίος,
ὁ πλούσιος πρόχειρος εἰς ἁμαρτίαν.

Ἡ χαρά.

Τείνω τὰ νεῦρα, καὶ κρατύνω τὸν τόνον.
Ἑρμῆς δ' ἐμπιπλῶ τοὺς παραλελυμένους.

Ἡ λύπη.

Τὰ νεῦρα συνθλῶ, καὶ παραλύω τόνον.
Ἐργάζομαι δὲ καὶ λογισμῶν ἐκστάσεις.

Ἡ γραμματική.

Τῶν ἱστοριῶν συναγωγὸς τυγχάνω.
Καὶ λέξιν ὀρθῶ, καὶ μέτροις ἐφιστάνω.

Ἡ ῥητορική.

Ἐγὼ πνέω πῦρ κατὰ τῶν ἀντιπάλων.
Στομῶ δὲ γλῶσσαν, ὡς ψυχρῶ τῇ διπλόῃ.

Ἡ φιλοσοφία.

Ἴσον θεῷ τίθημι τὸν στέργοντά με.
Τὴν γνῶσιν αὐτῷ τῶν ὅλων δωρουμένη.

Ἡ Γεωμετρία.

Ἐγὼ πολλοὺς ἀγνώστους, γνώστας δεικνύω.
Διὰ μετρικῶν σημείωμ σχοινισμάτωμ.

Ἡ ἀστρονομία.

Ἐγὼ τὸμ νοῦν λεπτύνω τῶν μυουμένωμ.
Τοῦ προθεωρεῖμ τὸ συμφέρομ τοῦ χρόνου.

Ἡ ἰατρική.

Ἐν ὑγιείᾳ ὄντας, αὐξάνω τάχος.
Εἰ δὲ πρὸς τέλος, θᾶττον πέμπω τῷ τάφῳ.

Ἡ τεκτονική.

Ὕλημ τὴμ ἀνείδεομ εἰς εἶδος φέρω.
Καὶ ἀδοποιῶ τοῖς ὁποσοῦμ χρωμένοις.

## ΤΟΥ͂ ΑΥ̓ΤΟΥ͂ ΣΟΦΩΤΑΤΟΥ ΜΙΧΑΗΛ ΤΟΥ͂ ΨΕΛΛΟΥ͂ ἈΝΑΓΩΓΑῚ.

### ἈΝΑΓΩΓῊ ΕἸΣ ΤῸΝ ΤΆΛΑΝΤΟΝ.

π Ἄλιν ἡμᾶς ἐπὶ τὰς ποιητικὰς θύρας ἀνθέλκετε, ἀφ᾽ ὧν μόλις ἐπὶ τὴν φιλόσοφον αὐλὴν μετῳκίσθημεν, ἢ ἀνειλκύσθημεν. ἐγὼ δὲ κἂν ἀπώκνησα πρὸς τοιαύτην παλινῳδίαν, εἰ μὴ τὸ προβεβλημένον παρ᾽ ὑμῶν, κρείττονος ἐδεῖτο τῆς ἐπισκέψεως. ἐπὶ γυμνὸν μὲν γὰρ τὸν μῦθον, οὐκ ἄν ποτε ἀφίξωμαι ἑκών. εἰ δέ τις αὐτῷ κρείττων τοῦ φαινομένου ὑποκάθηται ἔννοια, δεήσαμ παντὲ καθεῖναι ἀπὸ τοῦ τῆς φιλοσοφίας ὕψους, ἐφήσω τῇ γλώττῃ, ὥσπερ ῥεύματι πρὸς τὸ κάταντες φερομένῳ. δεῖ γὰρ τὸν φιλόσοφον μὴ ἀεὶ πάντε ἀψύχως ἔχειν πρὸς τὰς τῶν ὄντων ὑπεροψίας, ἀλλὰ καὶ φιλόμυθον εἶναι πάντε, καὶ σπουδάζειν περὶ τὰ παίγνια. παιδικὰ δὲ φιλοσόφῳ, μῦθος καὶ λέξις ἐπιτερπὴς καὶ ἱστορία. ἢ

διαχέουσα τὴν ψυχὴν ἢ συστέλλουσα. παίξωμεν οὖν καὶ ἡμεῖς ἃ δοκεῖ περὶ τὸν ἐκ διὸς φύντα Τάνταλον. καὶ θεασώμεθα τοῦτον τῷ λόγῳ, ὅπως τῷ ἀέρι τὸν πάντα χρόνον περιπτώμενος, δεδμαίνει μὲν τὴν ὑπερτέλλουσαν πέτραν. ἥτις ἀδαμαντίνοις ὥσπερ καλλωδίοις ἀπῃωρημένη, καὶ μικρόν τι τῆς ἐκείνου ὑπερανέχουσα κεφαλῆς, φοβεῖ τῷ μέλλειν κατιέναι. οὐ κάτεισι δέ. ὁ δὲ, τῷ φόβῳ κυμαίνεται. καὶ ταύτην δίδωσι δίκην τῆς ἀκολάστου γλώττης. πρὶν δὲ τὰ περὶ τοῦ παιδὸς ἐξετάσαι, τὸν τούτου πατέρα κατανοήσωμεν. ὅστις ἐστὶν ὁ Ζεύς. ἐμοὶ δὲ τοῦτο δοκεῖ σπουδῆς ἄξιον, πῶς ἀμφίβολον αὐτῷ τὴν γονὴν ὁ τοῦ δράματος ὑποκριτὴς προσμαρτυρεῖται.

ὁ διὸς πεφυκὼς ὥς λέγουσι Τάνταλος.

Ἀλλ᾽ ἐπεὶ πλάτος ὑπανοιγόμενον τῶν θεωρημάτων ὁρῶ, δοκεῖ μοι ὥσπερ τελετῇ τινὶ τῷ λόγῳ προσέρχεσθαι. αἱ γὰρ τελεταὶ, σωματικὰ τούτων τὰ παραπετάσματα. ἣν δὲ εἰ

σω τῶν ἀδύτων χωρήσῃ τις, φῶς ἐκεῖ καθαρόν. καὶ τῶν αἰσθητῶν ἀπογύμνωσις. τὸν δία τοίνυν οἱ ἕλληνες, ἄλλος ἄλλαις ἐννοίαις καταμερίσαντο. οἱ μὲν γὰρ αὐτὸν, πρῶτον τοῦ παντὸς ὑπονοοῦσι δημιουργόν. ὃν δὴ διὰ τοῦτο, καὶ ζῆνα. καὶ δία προσηγορεύκασιν, ἐκεῖνο μὲν, ὡς τῆς ζωῆς τοῖς οὖσι χορηγόν. τοῦτο δὲ, ὡς αἰτίαν τινὰ διὰ πάντων τῶν ὄντων φοιτήσασαν. ὃν δὴ καὶ τρίτον ποιοῦσιν ἀπὸ τοῦ ἑνός. ἓν γάρ φασι τὸ ἐκ πάντων καὶ πρὸ πάντων. μεθ' ὃν ἰδέας. καὶ ἐφεξῆς τὸν δημιουργόν. τοῦτον γὰρ ἀμέσως προσάγουσι τοῖς ποιήμασιν. οἱ δὲ τινες ταύτην μὲν τὴν αἰτίαν ἐγύμνωσαν. φαινομένῃ ὅτι τινὶ φύσει, τὴν προσηγορίαν ταύτην ἐπιφημίζουσιν. ἥτις ὁ δεύτερος πλάνης ἐστὶ, ζεὺς τοῖς ἀστρολόγοις ἐπονομαζόμενος. ὅτι τοῦ ὑπερκειμένου τούτου φθαρτικοῦ τυγχάνοντος ταῖς γενέσεσιν, οὗτος οἷς ἂν ἀλλῶ σχηματιζόμενος. ἢ ὑφαιρεῖται τῶν κακιόνων, ἢ προστίθησι τὰ καλλίονα. τοιαύτη μὲν καὶ ἡ δευτέρα

δόξα περὶ τοῦ διὸς τοῖς ἕλλησιν. ἡ δὲ τρίτη ἱστορι
κωτέρα ἴσως καὶ ἀληθεστέρα. αὐτόν τε γὰρ καὶ τὸν
πατέρα τούτου κρόνον οἱ μῦθοι, ἀπὸ κρήτης γεν
νῶσι. καὶ τὸν μὲν οὐκ ἴσασιν ὅπου γῆς κατορώρυκται.
τοῦ δὲ, τὸν ἐπὶ τῷ τάφῳ δεικνύουσι κολωνόμ. ἅ
τα τῆς θνητῆς ὑπεραναβάντες φύσιν, ἀγχιστόρους
ποιοῦσι τῆς οὐσίας τῆς κρείττονος. καὶ πρὸς τὸ
τῆς θειότητος εἶδος μεταβιβάζουσι. τούτῳ δὴ τῷ
λόγῳ καὶ ἑρμῆς προστίθεται ὁ τρισμέγιστος. τἄλ
λα γὰρ παραθεωρῶν τοῖς μύθοις, τοῦτομ δὴ μό
νομ γυμνὸν ἐδέξατο. καὶ πρὸς τὴν ἐκείνου μίμη
σιν διερεθίζει τὸν τάνταλον. ἡμῖμ μὲμ οὖν εἰ
μὲν πρὸς τὴμ ἱστορίαν τὸμ μῦθον μεταχει
ριζοίμεθα, οὐδὲμ μέγα ἔσται σωματικὰς γεμ
νήσεις τοῦ ταντάλου συνειλοχόσιν. ἀλλ' οὐ
δὲ πρὸς τὸ ἄστρον τὸν λόγομ ἀνατείνοιμεμ, ἄ
ξιόν τι τῆς φιλοσόφου σπουδάσομεμ σκέψε
ως. τὰ γὰρ ἐκ τῶν μαθημάτωμ, οὐχ ὑπάρξεις
ἀλλὰ σχήματα, καὶ ποιότητες. λεγέσθω τοί
νυν παρ' ἡμῶμ ζεὺς, ὁ χορηγὸς ζωῆς τοῖς οὖ

λοις θεός. Τάνταλος δὲ τὸ αἰθέριον πῦρ. πέτα
ται, γὰρ δι' ὅλων τῶν σφαιρῶν. καὶ φύσιν ἔχει ἄνω
κάτωθεν ἅλλεσθαι. τοῦτο γοῦν τὸ αἰθέριον
πῦρ, ὃ παρὰ τῷ ἀοιδῷ Τάνταλος, τῷ ἀέρι
πέφυκεν ἐπερχόμενον. τῷ γὰρ πέρατι τῆς τοῦ
πυρὸς σφαίρας, ἡ ἀρχὴ τῆς τοῦ ἀέρος προσή
πται. λεπτότερον δὲ τοῦ ἀέρος τυγχάνον τὸ
πῦρ, ὥσπερ ὀχήματί τινι, τούτῳ ἐπελαφρί
ζεται. ὁ δὲ ὑπερτέλλων τὴν τούτου κεφαλὴν
λίθος, ὁ κατὰ τὸν Ἐμπεδοκλέα σφαῖρος ἐστίν.
ὡς δ' ἂν ἡμεῖς φαίημεν, ἡ ἀπλανὴς κυκλοφο
ρία. ὁ μὲν γὰρ ἀήρ, τὸ πῦρ ὑποβέβηκε. τὴν
δὲ ἀπλανῆ σφαῖραν, τὸ πῦρ. ἥ τις δή, ὥς
περ χερμὰς ἐπιβεβάρηται, καθάπερ
τινὶ κορυφῇ, τῇ πρώτῃ ἐπιφανείᾳ τοῦ πυ
ρός. αὕτη δὲ ἡ ἀπλανής, τῇ ἀπαύστῳ καὶ ταχείᾳ
περιαγωγῇ τῆς κινήσεως, δοκεῖ μὲν πιέζειν τὸ
πῦρ. ἵνα μηδὲν τι καινὸν ἐν τοῖς περικυκλουμένοις
τοῖς στοιχείοις γένηται. οὐ διαφθείρει δέ. ἀλλὰ τὸ
μὲν ὥσπερ ὑπερπέφρικε. δέδοικε γὰρ τοῦτο τῇ

τοῦ μύθου ἐξουσία, συναγόμενόν τε καὶ συνειλούμενον. ὁ δὲ περιελισσόμενος κύκλος, ἀφαιρεῖται αὐτῷ ἀεὶ τοῦ δέους, τὸν ἅπαντα χρόνον ζωογονῶν ἀλλ' οὐ φθείρων. τὸ δὲ ἀμφιβάλλειν τὸν ὑποκριτὴν περὶ τῆς τούτου γενέσεως, ταύτην μοι ὑποβάλλει τὴν ἔννοιαν.

Ὅτι τετολμήκασί τινες τῶν στωϊκῶν, πυρώδη φύσιν τῷ τοῦ παντὸς προσάψαι δημιουργῷ, ἀλλ' οὐχ ἥ γε ἀκαδημία. οὔθ' ἡ πρεσβυτέρα. οὔθ' ἡ νεωτέρα τοῦτον τὸν λόγον ἐδέξατο. ἀσώματον δὲ τοῦτον ὡρίσαντο. καὶ πρὸς μηδὲν τῶν στοιχείων ἐοικός τι ἔχοντα. διὰ τοῦτο καὶ ὁ ἐν τῇ σκηνῇ λόγος ἀμφιβάλλει περὶ τὰς τοῦ ταντάλου γονάς. καὶ τὸ ἀπὸ τοῦ δημιουργοῦ τὸ πῦρ γεγενῆσθαι, ταῖς δημώδεσι παραχωρεῖ ὑπολήψεσι. σπουδάζεται γὰρ φιλοσοφία κἀπὶ τοῖς δράμασι. καὶ διὰ τοῦτο ὅπερ ἀπεμφαῖνον τοῦ μύθου πρὸς τὸν ἀληθῆ λόγον εὑρίσκων, τῷ συρφετῷ δίδωσι τοῦ πλήθους. καὶ μὴν πῶς ἂν εἴη ὁ τάνταλος ἡμ. πῶς δὲ τῆς κάτω γενέσεως πεφυκὼς ἀπὸ τοῦ

λέσμα, συνδιῄτητο θεοῖς. πῶς δὲ καὶ διαιτώ-
μενος τούτοις, ἔκφορα τὰ ἐκείνων ἐποίει μυ-
στήρια. καὶ διὰ τοῦτο ἑώρατο. καὶ τὸν λίθον πεφό-
βηται. φημὶ τοίνυν ἐγὼ ὡς ἀρχὴ τῆς ἐν γενέσει τὸ
πῦρ. ἡμῖν τε γὰρ εἰς τὴν σωματικὴν οὐσίαν συντε-
λεῖ, καὶ μέρος γίνεται τῆς συνέσεως τὸ κορυ-
φαιότατον. ἀλλὰ καὶ πᾶν αἰσθητὴν φύσιν ἔχον ὁ-
ρᾶσθαι, κἂν μὴ ὁρῶτο ἐπιπροσθοῦντος αὐτῷ
τινὸς σώματος, αὐτὸ δὴ τὸ ὁρᾶσθαι τῆς πυρώ-
δους οὐσίας μετείληφε. τὴν δὲ ἀπλανῆ σφαῖραν
παῖδες ἑλλήνων πέμπτον σῶμα ὑποτιθέμε-
νοι, οὐδέν τι λυσιτελὲς ἡμῖν εἰς τὴν γένεσιν οἴον-
ται. διὰ τοῦτο λέγεται ὁ τοῦ διὸς παῖς, τάντα-
λος. ὃν ἡμεῖς πρὶν ἐθεωρήσαμεν μανθάνειν. καὶ τὴν
γῆν λαχεῖν οἰκητήριον· ὅτι μεθ' ὑμῶν τὸ πῦρ. καὶ
πρώτη τοῦ σώματος σύστασις. τὸ δ' αὐτό,
καὶ θεοῖς ἔλαχεν ἑλληνικοῖς συνοικεῖν. οἱ γὰρ
θεοὶ τούτοις οἱ πλάνητες, ἄλλων ἄλλως τὸ
πῦρ συνοικεῖ. ὁμοδίαιτον ἄρα τοῦτο, τοῖς ἐ-
κείνων θεοῖς. ἔκπυστα δὲ τὰ ἐκείνων πεποίη-

κεν, ὅτι φωτὶ πάντα καταλαμβάνεται. τὰ μὲν θεῖα, τῷ θείῳ. τὰ δὲ σωματικὰ, τῷ σωματικῷ. ἀκόλαστος δὲ τῷ πυρὶ ἡ γλῶσσα. ὅτι τοῦτο μόνον τὸ στοιχεῖον παφλάζει τῇ φύσει. καὶ ἐς τὸ ἀεὶ συνηχεῖ. ἥ τε γὰρ γῆ στάσιμος οὖσα καὶ ἀμετάθετος, καὶ ἠχοῦ ἐστέρηται. τὸ δὲ ὕδωρ εἰ μή τις εἴη, δον ὥσπερ ἠρεμεῖ ἐπικεχυμένον τῇ γῇ. ὅτε ἀὴρ ἀψόφῳ βαίνει κελεύθῳ κατὰ τὴν ποίησιν. τὸ δὲ πῦρ ἀεὶ τῷ ἐγκειμένῳ στενοχωρούμενον πνεῖ, σαλπίζει τὰ ὦτα οἷς ἂν προσεγγίσῃ. τοιαύτη μὲν ἡ κεκρυμμένη τοῦ μύθου διάνοια. ἡμῖν δὲ τὰ ἐνταῦθα εἰρημένα, μὴ ἀμετακίνητα δόγματα ἔστωσαν. πρὸς γὰρ τὸ χρειῶδες τοῦ λόγου, τὰς τῶν ὀνομάτων φύσεις ἐξειλήφαμεν. ἐπείπερ ἐν ἑτέρῳ μύθῳ, ἐν ᾧ δὴ ὁ μὲν κρόνος τὸν δία γεννᾷ. οὗτος δὲ, τὸν πατέρα δεσμεῖ, ἄλλως ἂν ἐκδεξαίμεθα ἐκεῖνον τὸν παῖδα τοῦ κρόνου. χρόνον γὰρ τὸν κρόνον ἐκεῖσε νομίσαντες, δώσομεν αὐτῷ πάντα καταβροχθίζειν τὰ ἐκ τῆς ὀσφύος αὐτοῦ γεννώμενα. τοιοῦτος γὰρ ὁ

χρόνος δαπανητικὸς τῆς οὐσίας τῶν αἰσθητῶν. ἔμελλε δὲ καὶ αὐτὸς τῷ συνεχεῖ τῆς οἰκείας φύσεως ῥεύματι, παραῤῥεῖν τε καὶ παραπόλλυσθαι. ἀλλ' ἡ ἐκ διαδοχῆς τῶν ὄντων ζωὴ, ἥτις δὴ ζεὺς ἐν ἐκείνῳ τῷ μύθῳ προσηγόρευται, τὴν τούτου ζωὴν ἀνέχει. καὶ οἷον δεσμεῖ, ὥστε μὴ παραπόλλυσθαι. ἐπειδὲ καὶ ἡ τοῦ καθέκαστον ζωὴ κινουμένη καὶ παραῤῥέουσα, διὰ τοῦτο καὶ ῥέαν μητέρα τῷ διῒ ὁ μῦθος ἐπέστησεν. ἔδοξε γὰρ τοῦτον ὁ κρόνος καταπιεῖν. οὐ καταπέπωκε δέ. τῷ μὲμ γὰρ τὰς μερικὰς ζωὰς διαφθείρειν, διολλύων ἡμᾶς τοῖς πέρασι τοῦ εἱμαρμένου βίου, ὑφήρπασε τῷ λαιμῷ τὸν δία. ἐφ' ᾧ μὴ δὲ πᾶσαν τῶν ὄντων τὴν ζωὴν κατηνάλωσεν, ἀλλὰ μένει συντηρούμενος ταῖς διαδοχαῖς, ἠλευθέρωτο ὁ παῖς τοῦ παιδοκτόνου πατρός. ἐπεὶ οὖν ὑμῖν νῦν πρώτως τῶν ἑλληνικῶν μύθων ἠνοίξαμεν, καὶ ὑφηγησάμεθα ὅπως δεῖ τούτους ἀλληγορεῖν, τῷ ἐνταῦθα κανόνι στοιχοῦντες καὶ ὑμεῖς, τί τοῖς ἐπιλοίποις συνεξετάσοιτε.

τοῦ αὐτοῦ ἀλληγορία περὶ τῆς σφιγγός.

Ἐπὶ τῶν λεγομένων τελετῶν, τὰ μὲν ἄδυτα ἦν, ὡς δηλοῖ καὶ τοὔνομα. τὰ δὲ, παραπετάσματα προβέβληνται. ἀθέατα τὰ ἐν τοῖς ἀδύτοις φυλάττονται. ἐν δὲ ταῖς ἐλευσινίαις, ἀνεμίγνυντό τε ταῦτα καὶ ἀνεγυμνοῦτο τὰ κεκρυμμένα. ἐγίνετο γὰρ τοῦτο ἐν περιόδοις ἐτῶν, ἵνα μὴ τὰ ἀβέβηλα βεβήλοις πολλάκις ὀπτάνοιτο. ὑμεῖς δὲ καὶ τῆς ἡμετέρας πολλάκις τὸν ἱεροφάντην καταβιάζετε, τὰ κελύφανα τῶν μύθων περιρρηγνύειν. ἵνα τὸ ἀποκείμενον τῷ ἐλύτρῳ ἀπόρημα, ἐκεῖθεν ἀναλαβόντες καταβροχθίσητε. ἐγὼ δὲ ἀπώκνησα ἂν τοῦτο ποιεῖν, εἰ μὴ αἱ μὲν ἀρχαῖαι κατηγόρηνται τελεταί, θεῖα δὲ ἐκρατύνθη δόγματα, ἀναπεταννύοντα μὲν, τὰ παραπετάσματα, ἔνδον δὲ τοῖς ἀδύτοις εἰσάγοντα τὸν τελούμενον. διὰ τοῦτο περιρρηγνύσθω τὸ τοῦ μύθου τῆς σφιγγὸς ἔλυτρον. τὸ δὲ κεκρυμμένον ἀνακεκαλύφθω. φιλοσοφίαν ἔχον ἀπόρρητον.

πλάττει δὲ ταύτην ὁ μῦθος, κόρην εὐπρόσω-
πον, οὐ μέχρι στηθῶν, ἀλλ' ὀμφαλοῦ· τὸ δὲ με-
τὰ ταῦτα δασὺ τῇ θριξὶ, καὶ πόδας θηρός· καὶ
οὐρὰ μακρά. ἡ δὲ γλῶττα ἀττικίζουσά τε καὶ πυ-
θαγόρειος, αἰνιττομένη τὰ πράγματα. τῷ γὰρ
ἀνθρώπῳ τὸν λόγον προσάπτουσα, ἑτέρῳ τοῦτον ὡς
ἴσα ἑρμήνευσε τῷ ὀνόματι. τοιοῦτο μὲν τὸ
τοῦ μύθου τέρας. καὶ δεδόσθω τοῖς ποιηταῖς ἐπ'
ἐξουσίας πλάττειν ἅπερ καὶ βούλοιντο. ἀλλ' ὁ
φιλόσοφος νοῦς, μὴ τῶν φαινομένων προσκεί-
σθω, ἀλλὰ τῶν αἰνιττομένων διὰ τοῦ τέρατος.
ὁ τοίνυν ἐμὸς λόγος περὶ τῆς σφιγγὸς, τοιοῦ-
τός ἐστι. σφὶγξ οὐδὲν ἄλλο ἐστὶν, ἢ ἄνθρωπος ἐξ ἀ-
νομοίων συγκείμενος. πολυμερὲς γὰρ χρῆμα,
ἡ οὐσία ἡμῶν. τὰ μὲν γὰρ, ταῖς λογικαῖς δυνά-
μεσι συναπτόμεθα. τὰ δὲ, τῆς τοῦ ἀλόγου με-
τέχομεν φύσεως. τὸ μὲν γὰρ ἐν ἡμῖν, πρῶτον.
καὶ ὁ μετ' ἐκεῖνο νοῦς, δεύτερον. καὶ ἡ μετὰ
τοῦτο φυσικὴ διάνοια. ἥ τε ἀληθὴς δόξα.
τὸ τῆς διανοίας συμπέρασμα, λογικὰ πάντα

καὶ θεῖα. ἡ δὲ φαντασία καὶ αἴσθησις, καὶ ὅσα σώμα
τος δεῖται πρὸς τὴν ὑπόστασιν, ἀλόγῳ καὶ κλημώ
δει, καὶ πρὸς τὸ ἐκτὸς μενευκότι. ἔστι μὲν οὖμ
ταῦτα καὶ καθ᾽ ἑαυτὰ τῷ λόγῳ διαιρετά. ἀλ
λ᾽ ἡ τοῦ ἀνθρώπου πλάσις συγχεῖ πάντα. καὶ τέ
ως πέφυκεν ἀφανῆ. εἰ μὲν εὐθὺς τοῦ φρονεῖν
φιλόσοφόν τις σχοίη νοῦν, καὶ γνοίη τί τε ὂν τυγχάνει
νοῦς, καὶ ψυχὴ ποῖ γέγονε, μισεῖ μὲμ τὴν ὕλημ.
ἀποστρέφεται δὲ τὸ σῶμα. βύσας δὲ τὰς αἰ
σθήσεις, καὶ τὰ ἄλλα χαίρειν εἰπὼν τῇ φαντασίᾳ,
πρῶτον μὲμ τὴν ψυχὴν ἐπὶ τῆς οἰκείας οὐσίας
τηρεῖ. ἔπειτα ἔνδομ χωρεῖ πρὸς τὸμ νοῦν. καὶ
διὰ τοῦ νοῦ συγγίμεται τῷ θεῷ. εἰ δ᾽ ὡς ἔτυχε
μείνη ἐπὶ τῆς γεννήσεως, καὶ χρῶτο μὲμ ταῖς
αἰσθήσεσι, φαντασιώδη δὲ κέκτηται ζωὴμ,
πρὸς τὴν τῶν θηρίων φύσιν ταῖς προαιρέσεσιν
ηὐτομόλησεμ. ἔμθα δὴ γενομένη, τῶν μὲμ κυ
ρίως ὄντωμ, οὐδὲν οἴεται εἶναι. ἐκεῖνα δὲ ὑφέ
σταθαι μόνα δοκεῖ, ὧμ ἀπρὶξ ταῖμ χερσὶμ ἐ
πιλάβοιτο. ἐμ γὰρ τῷ τοιούτῳ βίῳ, καὶ κύνες ἐ

νεοί. καὶ ἐκδρυμοῦ σύες. καὶ μονιοὶ ἄγριοι, καὶ
χρεμετίζοντες ἵπποι, ἐπὶ τὴμ γειτνιῶσαν πα
ρὰ τῆς θείας γραφῆς κατονομαζόμενοι. ἐπὶ
δὲ θατέρου βίου, ἄγγελοι καὶ παῖδες θεοῦ. εἴπω
δὲ καὶ θεοί, ὡς τὸ ἐγὼ εἶπα θεοί ἐστε. ἀλλ᾽ ἐπεὶ
δὴ ἐς τοσοῦτον διαφεστάναι τὰ ἀντικείμε
να, μέγα γὰρ χάσμα ἐστήρικται μεταξὺ θεοῦ
καὶ θηρός, δεῖ καὶ μέσην ἀμφοτέρων δοῦναι ζω
ήν. ἣν τὰ μὲν τῶν χαλδαίων λόγια, ἑτεροφα
νῆ, καὶ ἑτεροκνηφῆ κατὰ τὴν πρὸς θάτερα τῶν
ἄκρωμ ἀπόκλισιν καὶ ἐγγύτητα. ἐγὼ δὲ ἁπλῶς
ἀνθρωπίνην κατονομάσαιμι. φιλὴν οὖμ ὡς ὁ
λόγος ἡρμήνευσεμ, ἐφωράσαμεμ τὴν ζωήν. θηρι
ώδη. ἀνθρωπίνην. καὶ θεοειδῆ. ἀλλ᾽ ἐν μὲν τῇ
θηριώδει, σωματικὰ πάντα καὶ θεῖον οὐδέν. ἐν
δὲ τῇ θείᾳ, φιλόσοφος ἡ διεξαγωγὴ καὶ κατέρ
γασις τῶν αἰσθήσεων. ἐμ δὲ τῇ μέσῃ τῇ ἀνθρω
πίνῃ, σύμμιξις ἐξ ἀμφοῖν. ἐνταῦθα γάρ, οὔτε
θηρίομ ἐστὶ μὲμ οὔτε θεός, ἀλλ᾽ ἀμφότερον. καὶ
οὐδὲν ἑκάτερον καθαρῶς. ἐν τίνι γοῦν τῶν βίων

ζώωμ εὑρηκέναι τὴν σφίγγα οἰόμεθα, ἢ δῆλον ἐν τῇ μέσῃ καὶ ἀνθρωπίνῃ. οὔτε γὰρ ἄνθρωπος αὕτη τελέως, οὔτε θηρίομ κατὰ τὴν ἰσχύμ. οὔτε θηρίον ἀκριβῶς. ὅτι τὰ πρὸ τοῦ ὀμφαλοῦ, ἄνθρωπος. ἐβούλετο μὲν γὰρ πᾶσαν τὴν γένεσιμ καταλιπεῖμ, καὶ διόλου παρθένος εἶναι καλή. ἀλλ' ἡ φαντασιώδης ζωή, οἷον ἀφιπταμένη τοῦ σώματος κατασχοῦσα ταύτημ, τὸ κάτω μέρος ἀπεκτήνωσε. διὰ τοῦτο ὁμιλεῖ μὲμ ἀνθρωπίνῃ φωνῇ. ἐντεῦθεμ γὰρ ἡ φιλοσοφία ἐτυμολόγηται, ὡς Ἀριστοτέλει ἐν ταῖς κατηγορίαις δοκεῖ. ᾗ μὲν γὰρ ἐκπέφευγε τὸ θηρίον εἶναι, ἔναρθρος αὐτῇ ἡ φωνή. ᾗ δὲ μὴ πρὸς τὴν θείαν ζωὴν τελέως μετεσκήνωσεμ, ἀσαφῆ καὶ συγκεχυμένα τὰ φθέγματα. ἔχει γὰρ οὕτως, ἵνα τὸ πᾶμ δηλώσω τῶν ἀπορρήτωμ ὑμῖμ.

ὁ νοῦς, πάντα ἔχει τὰ εἴδη τῶν ὄντων. ἃ δὲ καὶ τῶν γινομένωμ ἡ ψυχὴ ὥς τις οὕτω φησίμ, ἀνθρώπινος οὗτος λόγος καὶ δεόμενος ἐξηγήσεως. φαντασία δὲ πλάνομ χρῆμα καὶ ἀνόητομ καθ' ἑαυτήν. καὶ χωρισμένα δὲ ἀπ' ἀλλήλωμ, νοῦς λέγω καὶ

φαντασίαν, ὡς ἐπὶ ἀγγέλου καὶ θηρός. ὁ μὲν, ὁ μου
πάντα γνοίη ἄνωθεν δεχόμενος τὰς πηγάς.
φαντασία δὲ, ἑνὸς ἂν τοῦ ὄντος λογίσαιτο. ἄμφω
δὲ ἐπὶ τῶν ἀνθρώπων μιγνύμενα, καὶ θάτερον θατέ
ρου ἀναπιμπλάμενα, ὁ μὲν νοῦς φαντασιοῦ
ται. ἡ δὲ φαντασία νενόηται. διὰ τοῦτο καὶ κα
τὰ νοῦν ἐνεργοῦντες οἱ ἄνθρωποι, οὐκ ἀφάνταστον
τὴν νόησιν ἔχομεν. καὶ φαντασιούμενοι, τῆς νοε
ρᾶς ἐνεργείας οὐκ ἐστερήμεθα. ταῦτα δὲ γίνε
ται, ὁπόταν μάχη ἐν ἡμῖν εἴη σώματός τε καὶ
πνεύματος. ἐπινικήσαντος μὲν τοῦ σώματος,
φανταστικοὶ πάντως γινόμεθα. ὑπερισχύ
σαντος δὲ τοῦ πνεύματος, νοεροί. ἐς ὃ ἂν δὲ πα
ρὰ μέρος ἑκάτερον ἑκατέρου κρατῇ καὶ κρατῆ
ται, καὶ σφίγγες ἐσμὲν ἀτεχνῶς. ἔστι δὲ τὸ ὄνο
μα τοῦτο δηλωτικόν. μελλούσης γὰρ ἀπαρτῆ
ναι τοῦ σώματος τῆς ψυχῆς, τὸ μὲν ἄνω μέρος
αὐτῆς ἐκπέφευγε. τὸ δὲ κάτω, σφίγγεταί πως
ὑπὸ φαντασίας, καὶ ἐπέχεται πρὸς τὴν γένεσιν.
διὰ τοῦτο, ὃ μὲν ἀπέπτη, παρθένος ἐγένετο.

καὶ οἷον ἀδιάφθορος νοῦς καὶ ἀκήρατος. καὶ γυμνὸς τῆς ἔξωθεμ περιβολῆς. ὃ δὲ κατέχεται, θηρίον ἐστὶ τετριχωμένον τοὺς πόδας. καὶ ἀκμάζον τοῖς ὄνυξιμ, ὡς εἶναι τὸ σύμπαμ τῆς σφιγγός, φαντασία νοῦ μετέχουσα, ἢ νοῦς, ἐπισυρόμενός τι καὶ τῆς κάτω γενέσεως. ἀσαφὴς οὖν αὐτῇ καὶ ἡ φύσις. καὶ ἡ φωνή. διὰ ταῦτα καὶ τὸμ ἄνθρωπον ὑπαινίττεται. δίπουν αὐτὸν τερατολογοῦσα. καὶ τετράπουμ. καὶ τρίπουμ. καὶ τοῦτό ἐστιμ οἱ ἀριθμοὶ κατὰ τοὺς πυθαγορείους τῶν πραγμάτων εἰσὶ δηλωτικοί. ἔχειν εὑρισκομένου τοῦ πάθους, οὐκ ἀντιλήψεσθε τῆς ἀληθοῦς εὐδαιμονίας, οὐ δ' αὐτοὺς ἀπολύσετε τε βίου ταλαιπωρίας, καὶ δουλοπρεποῦς ἀνάγκης. ἀλλ' εἰ μὴ καθ' ἕνα μὴ κατὰ συμμορίας καὶ δήμους εὑρεθῇ τι τῆς ὅλον διαλυμηναμένης τὸν βίομ ἀνοίας, νῦμ ὅτε κοινὸν ὑμᾶς ἅπαν ὑποδέδεκται θέατρομ, ἐμταῦθά που κατάθεσθε τὰ πάθη. καὶ καθαρὰς ἔχοντες ἀληθῶς τὰς ψυχὰς, ἄπιτε. γραφέσθω δόγμα καινόν.

## ΤΟΥ̂ ΑΥ̓ΤΟΥ̂ ἈΝΑΓΩΓῊ ΕἸΣ ΤῊΝ ΚΙ'ΡΚΗΝ ΒΟΥΛΟΜΕ'ΝΗΝ ΤῸΝ ὈΔΥΣΣΕ'Α ΜΕΤΑΜΟΡΦΟΥ͂Ν.

ούλεται μὲν ἡ κίρκη καὶ τὸν ὀδυσσέα
β μεταμορφοῦν. καὶ ἐλαύνειν εἰς συ-
φεόν, καὶ ὅσα εἰς τὴν τῆς μεταποιή-
σεως δύναμιν, πάντα συγκέκραται. ἀποτυγ-
χάνει δὲ τοῦ βουλήματος, σπασαμένου ἐπ᾽
αὐτὴν τὸ ξίφος τοῦ ἥρωος. πολύμητις γὰρ
ὢν καὶ δεινότατος ταῖς φρεσίν, οὐκ ἐπείθε-
το ἑτοίμως πεισίν. ὅθεν μικροῦ δεῖν καὶ ἀποπε-
πνεύκει ἡ πάμπονηρος ἐκείνη μαχλάς, ἀ-
πὸ τῆς τοῦ φασγάνου περιωπῆς. ἠλλοίωται γὰρ ὡς
ὁρᾷς τὴν μορφήν. ὁ δὲ, ἔτι μὲν θαρσεῖ καὶ φοβε-
ρῷ βλέπει τῷ βλέμματι, περὶ δὲ τῶν ἑταίρων,
οὔπω τοῦτο μέλλει. ὑπὲρ ἑαυτοῦ γὰρ παρε-
σκεύασται. οἱ δὲ ἴσασιν. ἀλλὰ βαβαὶ τῶν προσώ-
πων. ἐγκαλλωπίσατο δὲ ἐπ᾽ αὐτῶν ἡ τέχνη.
τοὺς μὲν γὰρ ἤδη μεταπεποιηκέναι, πεποί

ηκε. τὸν δὲ, ἔτι μεταμορφούμενον. τὸν δὲ, μέλλοντα. ὅθεν τούτῳ μὲν ὁ μυκτὴρ ἀπομεμήκυνται. καὶ ὕψος αὐτῷ ἀτεχνῶς ἡ μορφή. ὁ δὲ, τοὺς ὀφθαλμοὺς μὲν διήλλακται, καὶ βραχύ τι τοῦ προσώπου κεχάλασται. οὔπω δὲ ἡ ῥὶς καταλέληξεν εἰς ὀξύ. τῷ δὲ, ἐξῴδηκεν ἤδη τὸ πρόσωπον. καὶ ἤρκται τοῦ μετασχηματισμοῦ. τί γὰρ οὖν ὁ κρατήρ, τὸν μὲν, κεκράτηκεν. ὁ δὲ, ὑπερίσχυσε. φιλόσοφον ὦ ξένε λόγον ἀκούσῃ, καὶ οὐ πάνυ τὴν περιβολὴν τοῦ μύθου μέμψῃ. ποιητικὸν γὰρ ὑφ᾽ ἑτέρᾳ μορφῇ τὰ τῆς φιλοσοφίας κρύπτειν ἀπόρρητα.

Τὴν γάρ τοι κίρκην, ἡδονὴν μάντϊ κρυς νόσον. μεταποιοῦσαν ψυχάς, πρὸς ὃ ἑκάστη πάθος κεκίνηται. ὁ δὲ κυκεὼν, σύγκρατόν ἐστι πόμα. καὶ ἀτεχνῶς λήθης ποτήριον. καὶ ὁ τοῦτο πιὼν, ἀπαλλοτριοῦται τοῦ νοῦ. ἐπιλανθάνονται γοῦν αἱ ψυχαὶ τῆς οἰκείας ἀξίας, πιοῦσαι τὸν τῆς ἁμαρτίας κυκεῶνα. ὅθεν τὸν ἔμφυτον ἀλογήσασαι λόγον, ἐς τὴν κτηνώδη

μετακεκίνηται μορφώσιν. δύναται γοῦν κα-
τὰ τῶν τοιούτων ἡ κίρκη ψυχῶν. καὶ δοκεῖ φο-
βερά τις εἶναι. καὶ μετὰ κάλλους βλοσυρά τε
καὶ σοβαρά. αἱ δὲ ἡμίθεοι τῶν ψυχῶν ἐν μέ-
σῳ θνητοῦ τε σαλευοῦσαι σώματος καὶ τῆς ἀ-
κηράτου φύσεως, οὐ πάνυ διδόασι τὴν τῆς κίρ-
κης ὁρμήν. οὐδὲ ἠλλοίωνται τὴν μορφήν, ἀλλὰ
γενναιότερον ἀντιβλέψασαι, τὴν μὲν καταδυ-
μαίνουσιν. ἐκεῖναι δὲ τὴν εἰς τὰ πάθη ἀποδι-
δράσκουσι μεταποίησιν. τοιοῦτόν τι χρῆ-
μα καὶ δαιμόνιον ἡ φιλοσοφία. καὶ
οὐ μόνον ἐκ πηγῶν ἀρύεται ὕ-
δατα πότιμα, ἀλλὰ καὶ ἀ-
πὸ ἀκροτόμων
πετρῶν, μέλι
γλυκάζον εἰ-
ωθεναί
ειν.

## Αἴνιγμα τῆς σφιγγός.

Ἔστι δίπουν ἐπὶ γῆς, καὶ τετράπουν, οὗ μία φωνή.
καὶ τρίπουν. ἀλλάσσει δὲ βοὴν μόνον ὅσσ' ἐπὶ γαῖαν,
ἑρπετὰ κινεῖται ἀνά τ' αἰθέρα καὶ κατὰ πόντον.
ἀλλ' ὁπόταν πλείστοισιν ἐπειγόμενον ποσὶ βαίνει,
ἔνθα τάχος γυίοισιν ἀφαυρότατον πέλει αὐτοῦ.

## Ἰωάννου Τζέτζου, καρκῖνοι.

Ἀθλήσας ἤδη πώλῳ πηδήσας ἦλθα.
Νόσον ἔβαλεν ὁ λιμὸς, ὃς ὅμιλον ἔλαβεν ὅσον.
Ἀμήσας ἄρδην, ὀροφιφόρον ἤδρασα σῆμα.
Ἀλύξας ὥρην ἠνεμωμένην ἤρωσα ξύλα.
Ἤδη μοι δίος ἄρα πηγὴ παρὰ σοὶ Διομήδη.

## Τοῦ Πτωχοπροδρόμου.

Σοφὸς ἔγωγε ἤδη ὢν ἄνω. ἦ δὴ ἔγωγε σοφός.
Ὦ σὸν ἄναρχε νόμον ἔχρανα νόσῳ.
Νόσῳ σὺ ὃς ἡ ἴαμα Ἰησοῦ σῶσον.
Ἔλε σὺ δὴ ὁ σοφὸς. ὁ ἡδὺς ἔλε.
Σολομῶν φήσω, Ἰωσὴφ νῷ μόλος.
Νόμον ὁ κοινὸς ἔχε σὸν οἰκονόμον.
Ἱερὰ σὰ παρὰ χείλη, ἥλιε χαρὰ πᾶσα ῥεῖ.
Νίψον ἀνομήματα μὴ μόναν ὄψιν.

# ἸΩΆΝΝΟΥ ΤΟΥ͂ ΤΖΈΤΖΟΥ ΣΤΊΧΟΙ ἩΡΩΙΚΟΊ, ἜΧΟΝΤΕΣ ΕἸΣ ἝΚΑΣΤΟΣ, ΤᾺ ΕἸΚΟΣΙΤΈΣΣΑΡΑ ΣΤΟΙΧΕΙ͂Α.

ἀβροχίτων δ' ὁ φύλαξ θηρόζυγε καμψιμέτωπε.
φθέγξατο δὴ βάτραχος διζόμενος ὕψοθι κλῶπα.
ζεὺς ὑψιβρεμέτης κτύπε δὲ χθών. ἔτρατο δὲ
βρυχὼν δ' ὑπερβὰς φραγμὸν ἐξήνθιζε κλώψ. (φλόξ.
ζευχθεὶς πτεροῖς ἔκλαγξε βομβώδη ψόφον.
σφῶν μὴν βδελυχθεὶς ζάκτυπε ξύλω ψόφω.
τζέτζης ἄγρυπνος μὶξ, κλάδων ψύχη φόβη.

ΤΈΛΟΣ.

ἡ τῶν τετραδίων ἀκολουθία. α β γ δ
τὸ μὲν α β γ, τετράδια. τὸ δ δὲ, τριάδιον.

480/77/18057(9)
X13<771805790016
RARA

12. 9.

7

12. 9. 71